








ange Vergèce

63 ff plus
6 ff de garde
et 1 f. ajouté
pour [illegible]

111 figures



II

IV





Manuel Philes autor istius operis de Animalium proprietate floruit circa tempora Michaelis Palæologi junioris anno 1321. multoties typis mandati sunt hi versus iambici. in hac ce Bibliothecâ extat editio heidelbergæ data apud Commelinum in 8°. Novam dehinc evulgavit Joan. Cornelius de Pauw Trajecti ad Rhenum. Stoll. 1730. in 4°. Manuscripti tamen codices hujus operis pretiosi sunt quia multa continent quæ in editis frustra quæreres. hunc codicem cum editione heidelbergensi contuli, multosque versus in illo vidi omissos in Ms. Plura de Manuele Phile si desideras, consule fabricii Bibliothecam Græcam Tom. VII. Pag. 695. et seq.





ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΜΑΝΟΥΗΛΟΥ ΤΟΥ ΦΙΛΗ ΣΤΙΧΟΙ ΙΑΜ-

Πρὸς τὸν αὐτοκράτορα Μιχαὴλ τὸν Παλαιολόγον· περὶ ζώων ἰδιότητος· πτηνῶν, χερσαίων καὶ ἐνύδρων :~

+ Περὶ τῶν πτηνῶν, ἀετοῦ.

+ Προοίμιον :~



Ἐχρῆν μὲν ᾄδειν τὸν μονάρχην τὸν μέγαν,
τῆς δεσποτικῆς εὐκλεοῦς δεδεγμένον,
τηρεῖν καθαρὰν τῆς ψυχῆς τὴν ἀξίαν,
καὶ θηρίων ἄρχοντα παντοίων μένειν.



α

ἐπεὶ δὲ φασὶν τὸ ξύλον τῆς γνώσεως,
ἔγνω παρευθὺς τὴν τιμὴν καθυβρίσας,
ἥμαρτε καὶ τὸ σχῆμα τῆς ἐξουσίας.
οἱ θῆρες αὐτοῖς ἀγνοήσαντες νόμους,
ὡς δυσμενῆ φεύγουσι τὸν πρὶν δεσπότην.
καὶ τὸν χαλινὸν ἐνδακόντες τοῦ κράτους,
ῥήσσουσιν οὓς ἔστεργον εὐνοίας βρόχους.
καὶ ζῶσι λοιπὸν εἰς ἐρήμους γῆς τόπους.
ἐγὼ δέ σοι θήρατρον εὐνοίας πλέκων,
συνήγαγα τοὺς φυγάδας ἐξ ἐρημίας.
σοῦ γὰρ ἀνασχόντος ἡλίου δίκην,
ὡς εἶπε Δαβὶδ ζωγραφήσας τὴν κτίσιν,
εἰς μάνδραν ἐλθεῖν συνδραμεῖν τούτους χρεών.
καὶ λίνα ῥυθμοῦ τεχνικῶς ἐφαρμόσας,
πολλῶν πετεινῶν οὐ παρέδραμον φύσεις.
καὶ πάντα σὺν θεῷ ἐξερευνήσας λόγων,
συνέσχον ἰχθῦς τῇ πλοκῇ τῆς λέξεως.
ὡς ἂν ἔχοις καὶ ταῦτα, κἀκεῖνα βλέποις,
καὶ τὸ θαῦμα μαθὼν εὐτυχὴς αὐτοκράτωρ.
ποῖος γὰρ ἄλλος προσφυὴς μᾶλλον φόρος
ἄνακτι, παρ' ὃς αὐτοκράτορος φιλτάτως.
ἔχοντι τὴν ὑπερφυῆ καὶ ξένην φύσιν,
καὶ τὸν γλυκασμόν, καὶ τὸ πρὸς πάντα κράτος,
καὶ τὸν πλατυσμὸν τῆς ψυχῆς, καὶ τὸν τρόπον,
ὃ κινοῦσιν ὑμνεῖν οἱ κατ' ἄνθρωπον λόγοι.

νικᾷ γὰρ αὐτούς, κἂν πτερῶν, ἕλκοι πλάτος,
ὡς αἰγύπτιος τοῖς πτεροῖς τὰς ἐμπίδας.
μᾶλλον δὲ κἂν ἓν εὑρεθῇ πάντα στόμα,
τὸ περισσὸν λόγων ἅπαντα ἀρκέσει χάριν,
περισσὸν ἦν οὐδέν, τοῦτο καί τις σε φράσει.
τῇ γὰρ σιωπῇ, τοῦτον ὑμνήσεις πλέον,
εἰ μὴ περιουσιωθῇ ξένοις ἀδελφύτοις
πλὴν εἴ τι καινοῦ ἡ διήγησις φέρει,
τῆς φύσεως καὶ τοῦ τῆς πολυτρόπου.
ἧς οἶδε σαφῶς τοὺς ἀποκρύφους λόγους,
ὁ καὶ περισσῶς, καὶ σοφῶς πάντα κτίσας.
ὅ τι συγγενὲς ἔνεστι τοῖς λόγοις τέρας,
τῆς τῶν παλαιῶν τούτων φιλοτιμίας.
ἐξ ὧνπερ ἔλαβον τὰς ἀφορμὰς τῶν λόγων,
τὸν εἱρμὸν ὀργάνωσα τῆς εὐρυθμίας.
ἔχοι μὲν γὰρ τοῖς σοφοῖς καὶ σοβαροῖς,
τοῖς δημιουργοῖς καὶ βραβεῦσι τῶν μύθων,
οὐ φορτικὸν τὸ ψεῦδος, ἀλλ' ἀνεύθυνον.
ἡμῖν δὲ δεινὸν τοῖς τιμῶσι τὸν λόγον,
ὅς ἐστι φῶς, ἄνωθεν σκεδάσας τὸ σκότος.



Περὶ ἀετῶν.

Ἴσως ἀετὸς κράτιστε τοὺς ὑψιδρόμους,
πρὸ τοῦ θεωρῶν ἀκριβῶς τοὺς ὑπερτέρους,
τέθηπα τοὺς κλίσαντας τὴν τούτου φύσιν.
ἔλεγον γὰρ αὐτοὺς τοὺς κρατίστους ὀρνίθων,
παθῶν ἐπαχθῶν εὑρεθῆναι κρείττονας. γρ. παλαιῶν
πλὴν ὀξυδερκής ἐστιν ὁ πτηνοκράτωρ,
καὶ μέχρι σήμερον, ἐκ νεφῶν πάντα βλέπει.
τούτου δὲ καὶ τὸν ἔσιζον ἀκούσας δράκων,
ἔπληξε πρὸς ἀλέξημα καὶ σῶμα ἐς δίκην.
καὶ τοὺς μικροὺς ὑπεπῆδε τοὺς ἀποκρύφους,

μὴ θᾶττον αὐτὸν συλλαβὼν διασπάσῃ.
θηρᾷ δὲ καὶ τὸν χῆνα, καὶ τὴν δορκάδα·
καὶ τὸν λαγωὸν, καὶ τὸ τῶν ταύρων γένος·
ὃς τοὺς νεοττοὺς οὕτως ἀπτῆνας τέως,
ἐπὶ ξένην βάσανον ὡς νόθους ἄγων,
ποιεῖ δικαστὴν ἀρχικὸν τὸν φωσφόρον.
ὁ μὲν γὰρ αὐτοῦ ταῖς βολαῖς ἀντιβλέπων,
τοῦτον φυλάττει εἰς ἔσω καὶ τοῦτον ἐκτρέφει.
ὁ φθεὶς καθαρὸς δηλαδὴ γνήσιος τῆς ποτνίας.
ὁ δὲ πρὸς αὐτὸν σκαρδαμύξας ὀφθεὶς,
ἀλλοτρίου σπέρματος εὑρέθη τόκος.
καὶ τῆς καλιᾶς δυστυχῶς ἀπεκρίθη.
ἐὰν δέ που λέγῃ τις ἀετοῦ γόνος·
κρεῶν ἀφειστὼς, καὶ σιτούμενος χλόης.
θήρας τε μικρᾶς ἐκτὸς ὁ κρεωβόρος,
ὃ καὶ ὅλως ἅψαιτο τῆς ἀλλοτρίας.
ἐνάπτεται δὲ φυσικῆς δυσοσμίας,
ἀπὸ τῆς τροφῆς λείψανα τηρῶν ὡς ἔχει,
παντὸς πετεινοῦ δυσμενοῦς εἴργει θέατος,
ὡς ἂν ἐπ᾽ αὐτὰ δυστυχῶν μὴ προστρέφοι.
πτερὸν δὲ πτηνοῦ ἔφθειρεν ἡ τούτου πτέρυξ,
ἂν ὁ πτερωτὴς τῶν βελῶν τοῦ τοξότου,
λαθραίως αὐτοῖς ἐμφερεῖς ἂν ἐμβάλῃ.
τοῦτον βασιλεῦ τὸν πολὺν ζώοις βίον,
ἀεὶ νεουργῶν, καὶ κρατύνων τὴν φύσιν. +

γρύψ

vultur.



+ Περὶ γρυπός :+

Γρὺψ ὁ πτερωτός, καὶ πολὺς, καὶ τετράπους.
ὄνυχας ὀξεῖς ἐκ τῶν ποδῶν ὑπερεκφύει.
καὶ πορφυροῦς μέν ἐστι τοῖς ἐμπροσθίοις.
τὰ δ' ἄλλα λευκός, κυανεμὴν δέρριν μέλας. ·/· μῆ +.
καὶ πῦρ χέων ἄντικρυς ἐκ τῶν ὀμμάτων.
οὗ τὴν κεφαλὴν βασιλεὺς καὶ τὸ στόμα,
κἂν μακρόθεν βλέπῃ τις, ἀετὸς λέγει ·+
Ἀσπάζεται μὲν τοὺς ἐρημαίους τόπους,
ἀγνοοῖς ἰδεῖν τε καὶ σχολὰς ὑπερφέσιν,
οὗ, καὶ χρυσοῦ μέταλλον ἡ γῆ ἐκφύει.
ἐξ οὗ ἑαυτῷ καὶ καλιὰς συντιθεῖ,
ἐν ἠλιβάτοις τῶν ὀρῶν καὶ δυσβάτοις.

Τὸν καὶ λαβεῖν ἱεράκων οὐκ ἔστι γῦπα,
ἀλλὰ νεοσσοὺς ὄντας αἱρεῖσθαι ἔστι.
Τοῖς δ' ἐς χρυσοῦ δ' ἀθερίσων Ἰνδοῖς αὐτόθι,
δεινὰς μάχεσθαι φασὶ τοῖς ἀφειμένοις.
ὑποψίᾳ γε μὴ πόθεν τοῦ τὰ βρέφη,
οἴχοιεν αὐτῶν συλλαβόντες ἄμως γέ πως.
δεδοικότες δ' οὖν τὴν ἄγαν τῶν θηρίων,
ἀλκήν, μετ' ἡμέραν ἠρεμοῦσιν ἐν λόχμαις.
νύκτωρ δ' ἐπ' αὐτὰ τοῦ χρυσοῦ τὰ χωρία,
χωροῦσι μεθ' ὅπλων πλὴν ταραχῆς καὶ ψόφου.
Κἂν δὲ φθάσωσι καὶ βρύττοντες τάχος,
τὸ ψῆγμα τ' αὐτὸ λαμβάνουσι σὺν πόνῳ.
καὶ εἴ τε πως λάθωσι τοὺς γρύπας τότε,
ὄλεθρον ὥς τε τὸν πρὸς αὐτῶν ἐκφυγόντες, ἢ πρὸς αὐτ
καὶ κῆρα τὴν μιαίνα, σύν γε τῆς τύχης.

γύψ





+ περὶ γυπῶν :~

Τὴν μαντικὴν ἔχουσιν οἱ γῦπες φύσιν.
καὶ γὰρ συνεκδημοῦσι τοῖς μαχουμένοις,
τῶν σωμάτων ἐλπίδι τῶν πεσουμένων.
μεμισήκασι δὲ τὴν βορὰν τῶν στεφάνων.
τὰς ὀξυπείνας, καὶ ἀνδράχνας, καὶ βλάκες.
οἱ τῷ μύρῳ θνήσκουσι κανθάρων δίκην.
θήλεις δὲ πᾶς γύψ, ἐκ σπορᾶς ἄνευ κύει.
χαίνων γὰρ αὐτὸς πρόσφορος ὕψους πρὸς εὐρόνοτον,
συλλαμβάνει τὸ πνεῦμα, καὶ τὸν ζέφυρον,
στρουθοὺς πτερωτοὺς ἀπὸ μήτρας ἐξάγει.
οἳ ζῶσιν ἔτη εἰς ἑκατὸν χρόνων ἄρτι.
πτέρυγες καλιῶν εὑρεθέντες κρείττονες.
τὸ ἐναντίον δέ φασι τοὺς αἰγυπτίους.
τίκτοντας ἔσω τὴν σπορὰν τῶν ἀρρένων,
εἰς τὰς καλιὰς τοὺς νεοττοὺς ἐκτρέφειν,
ῥώμης ἀγαθῆς, καὶ πτερῶν ἀμοιβαίους.
εἶναι δὲ καὶ μέλανας τοὺς αἰγυπτίους. +

στρουθὸς ἡ μεγάλη.





+ περὶ τῆς μεγάλης στρουθοῦ .~

Στρουθὸν δέ φασι τὴν μεγάλην οἱ Φρύγες,
ὅταν πτεροῦται, τοῖς ποσὶ χρῆσθαι πλέον·
ὡς κύστα γὰρ θέουσα εἰς ἄρσιν μέσην,
κολποῦμεν ἑαυτῆς τὰ πτερὰ πρὸς τὸν δέμας·
ὡς λαῖφος οἶδεν ἐκ πνοῆς πλησιστίου.
ὡς αὖ δὲ τεχνικῶν εὑρεθεῖσα ἐργαλεῖον,
τὰ μὴ καθαρὰ τῆς γονῆς ἀποκρίνει.
ὅθεν γὰρ ἐξέλεξεν ἡ ζέσις τόκους.
ἐν τοῖς ἀπορρεύσασι κυλίνδροις τρέφει.
καὶ τὸν διώκτην γυμνοῦ τοῦ ἀλθέου,
ἐκπέμπει κατ' αὐτῶν τοὺς ὀπισθίους λίθους.
τοῖς ἐκτιναγμοῖς τῶν ποδῶν τοῖς εὐστόχοις·
καὶ τὴν κοιλίαν τοῖς ποσὶ διαγλύφει.
Ἐξ ἀνέγουσα ψάμμον ἐν τῷ δαπέδῳ.
ἧς καὶ τὰ νεῦρα βασιλεῦ καὶ τὸ στέαρ,
πολλῶν ὀδυνῶν εὑρεθῆναι φάρμακα.
Ταύτην δ' ἀναλεμῶν τις εὑρήσει λίθους,
οἳ τοὺς πόνους παύουσι τῆς ὀφθαλμίας · +

ἐρωδιός.



+ περὶ ἐρωδιῶν :~

Ἐρωδιοὺς νήττας τις ἡμῖν δεξάτω.
οἳ τὴν ἑαυτῶν εὐγενίζοντες φύσιν,
ὅταν μὲν ἂν ἴδωσι δεῦρο βαρβάρους,
μισοῦσι καὶ φεύγουσιν ὡς πτηνὸν γένος.
ὅταν δὲ καθαρθεῖς ἐκ τῆς ἀλφίδος,
ᾄσοι προσηνῶς, καὶ τοῖς Ἕλλησιν ἐς πόθον.
ὀλίτης γὰρ αὐτῶν προσδραμόντες ἀθρόοι,
τείνουσι τὰς πτέρυγας ὡς χεῖρας προΐσχοι.
κἂν οὐδ' ὅλως αὖθις ὡς ἐθὰς προσεστίσῃ,
στέργουσιν ἀφθὴν εὐμενοῦς ἀπὸ τρόπου.
τὸν πτερωτοὺς τῶν τρόφων διδασκάλους,
τοῖς ἀπτέροις δίδωσιν ἡ νῆττας ξένοις. +

κόραξ.



+ περὶ κόρακος :~

Δεινὸν δὲ τὸν κόρακα φασὶν ἐκ τόπων,
θέρους ἐν ἀκμῇ δυστυχῶς πεφρυγμένον.
τέως καὶ βαστάζειν ἐξ ἀνάγκης τὸν πόνον.
καὶ μαντικὸν τὸ φθέγμα πολλάκις ἔχειν.
πλὴν τοῦτο πιστόν· τέως μελαίνει τὰς τρίχας,
κόρακος ᾠὸν συντεθὲν τῇ μυρσίνῃ.
λέγουσι βασιλεῦ τὸν δολοῦντα τὴν κόμην,
μύσαντα τὸ στόμα τι συνέχειν στέαρ.
μὴ καὶ τὸ λευκὸν τῶν ὀδόντων αὐτίκα,
ἔσται πεὶν μελανθῇ τῆς βαφῆς περιηγμένης.
κόραξ δὲ κακῶς τοὺς κακοὺς τόκους τρέφων,
οὓς αὐτὸς ἐξέλεψε τοῖς ἰδίοις χάρι,
ὅτε ἐπιστῇ καὶ βραχὺς πείνης χρόνος,
τροφὴν ἑαυτοῦ τοῖς γοναῖς ἀντεισφέρει. +

πελαργός·





+ περὶ πελαργῶν.

Ἄλλοι πελαργοὶ τοὺς ἑαυτῶν φιλτάτους,
ἐν ἀφθόνοις τρέφουσι ταῖς χορηγίαις.
καθὼς ἐρωδιοί τε καὶ πελεκᾶνες.
οἱ φίλτατοι δὲ τοὺς γονεῖς μετὰ χρόνον.
ἀντιτρέφουσιν αὖθις ὡς εὐεργέτας.
τροφὴν δὲ τὴν χθές, ἀνεμοῦσι τήμερον.
θρὸς φαγεῖν οὐκ ἔχοντες, ἄλλοι τρύφος.
καὶ δευτέραν τράπεζαν ἐξεράσαντες,
κἀφ' ὧν, αὐτοῖς ἐξ ἀνάγκης ἀρτία. +



Περὶ ταῶνος

Πτεροῖς ὁ ταὼς γαυριῶν πολυχρόοις,
λοξῶς ἀνακλᾷ, καὶ στρέφει τὸν αὐχένα·
καὶ τοὺς θεατὰς ἐκφοβῶν ἀκινδύνως,
κτυπεῖ μεταξὺ τοῖς πτεροῖς ὡς ὁπλίτης·
ὅτε κρεμαστὸν γωρυτὸν φέρων τρέχει·
καὶ πάλιν αὐτοὺς ἐστιῶν ἐκ τῆς θέας,
τὴν κατόπιν πτέρωσιν ἐπανιστάνει·
ταύτην σφαιροποιῶν, καὶ σοφῶς ἐπικλίνων,
ἀκτῖνα θερινῆς φλεγμονῆς ἀποστέγει·
καὶ πνεῦμα λεπτὸν τοῖς πτεροῖς διαρρέον,
ἀναψύχει τὸν ὄρνιν ἐξ ὀπισθίου.
Ἀλλ᾽ ὦ βασιλεῦ, μὴ παρόψῃ τὴν θέαν.

λειμὼν γάρ ἐστιν ἡ γραφὴ τῶν ἀνθέων.
χρυσὸς δὲ λεπτὸς ἐγχυθεὶς τῇ πορφύρᾳ,
σμαράγδου ἁγνοῦ ἐμφυλεύει τῇ χρόᾳ.
ἔσωθεν ὡς φῶς, καὶ πτερῶν ταῖς ἀξίαις,
ἐκ τῶν φυσικῶν μασθιώντων ἀκτίνων.
τοῖς δὲ πτεροῖς καί τινας ἀθρήσεις τύπους,
εἰς ὄμματος μίμησιν ἐκπεπλασμένους.
οἷς κλέπτεται τὸ χρῶμα τῆς ποικιλίας.
κοινὸν δ' ἑαυτὸ πρὸς λαβὰς ἐνδείκνυται.
συστέλλεται δὲ καὶ κατασπᾷ τὸν τῦφον,
ὁρῶν δυσειδεῖς ἐκ ῥυτίδων τοὺς πόδας,
ταὼς ὁ σεμνός, καὶ θεατὸς ὄρνις ἴσως.
ἀμαθάνεται δὲ τῆς τιμῆς καὶ τοῦ κλέους,
οὐκ ἄν τις αὐτῷ πρὸς φυὰς διαπλέκοι.
ἔτεσι δὲ ζῶν εἴκοσι τὴν ὥραν βίου,
τῇ καλαμικρῷ τῶν πτερῶν κατασπάσει. +

πελεκάν.



+ περὶ πελεκᾶνος :~

Κόγχην πελεκὰν ἐμβαλὼν τοῖς ἐγκάτοις,
καὶ πάλιν αὐτὴν ἐξενεγκὼν ὁ στεάκεις,
τὸ σαρκίον βέβρωκε ληφθὲν εὐστόχως.
τὸ γὰρ τόνου θλάσασα τὰς κλεῖς ἡ ζέσις,
ἔχουσα εὐνὰς ἔσφιγξεν ἡ κόγχη πτύχας·
ἐρωδιὸς δὲ κατὰ παντὸς ὀστρέου,
τοῦτ' ἔργον ἐστὶ συντηροῦντος τὸν βίον. +

κύκνος.



+ περὶ κύκνου :~

Κύκνος θανατῶν, ἐμμελεῖς ᾠδὰς πλέκει.
χηλῆς σμηλευτῆς δεξιοῦται τὴν χάριν.
τὸ ζῆν τὸ θανεῖν ἀσφαλέστερον κρίνων.
ἀνίσταται γὰρ τῶν πτερῶν ἡ πυκνότης·
νευρῶν τρόπον ἔντεχνον ἐκκινουμένη.

Καὶ πλὴν κελεύων ὀλβίως ὁ ζέφυρος γίνεται.
καὶ τῷ φυσικῷ τοῦ τραχήλου συρίγματι,
κινεῖ τὸν εἱρμὸν τῶν μελῶν ὁ λεγγύλης,
πανηγυριστὴς εὑρεθεὶς τῆς ἐξόδου.
βακχεύεται δὲ τῶν ἀπίσοις ἐλπίσι.
ποθῶν ἀλεχνῶς τὴν φθορὰν ἐπιτρέχειν.
ἄνθρωπε φιλόψυχε τὸν κύκνον βλέπε,
πρὸς τὴν τελευτὴν ἀφρενῶς, μὴ συγνάσης. +

γέρανος.

+ περὶ γεράνου ~

Τίς τὴν στρατιὰν τῶν γεράνων ὁπλίσας,
θεσμοῖς φυσικοῖς, καὶ πτεροῖς ὀξυδρόμοις,
ἐπὶ τὰ κατ' αἴγυπτον ἐξάγει μέρη.
τὸ δυσψυχὲς φεύγουσαν εὐτέχνως σκύθου. τό ἐν

ὃ κρύπτεται μὲν τοῖς φαρέτραις τῇ θέᾳ.
λυμαίνεται δὲ τὴν ὑπόπτερον φύσιν,
ὑπαιθερίοις πνεύμασιν ἐστομωμένον.
τίς ἕρμα ποιεῖ τοῖς γεράνοις τὰς λίθους,
ἃς ἐγκαθειργνύουσι τοῖς πορθμίοις,
πρὸς τὰς ὑπὲρ γῆς ἐμβολὰς τῶν πνευμάτων;
δεδοίκασι γὰρ ἐκ τροπῆς ἀταξίαν,
ὅτε ὁ ταρσὸς τῶν πτερῶν τοῖς ὀρνέοις,
ἔρημον ἰχνῶν πελαγῶν τέμνει τρίβον,
εἰς ὁρμαθοὺς τρίστοιχον ὀξυγωνίων.
τίς αὖθις αὐτῶν ἐκδοθείσας τὰς λίθους,
ὅτε ὁ μακρὸς τοῦ πτεροῦ λήξῃ δρόμος,
ποιεῖ κειμήλια τοῦ χρυσοῦ τοῖς ἐμπόροις.
ὅτε δὲ καθεύδωσιν ἐρασιώνης γάρ,
ποίου στρατηγοῦ τακτικοὺς γνοῦσαι νόμους,
εἴργουσι τὸ ἔξωθεν εἰσπίπτον δέος·
τοῖς τηροῦσι πιστοῖς, τοῖς σκοποῖς ἀγρυπνοτέροις.
τοὺς δ' αὖ τίς πάλιν ἔπεισε παρ' ὄχθοις λίθοις
ἀσκωλιάζειν εἰς ἀκάματον στάσιν.







+ Περὶ πέρδικος :~

Λάγνου δὲ φιλόθηλυ περδίκων γένος·
τὰ γὰρ ἐν ᾠοῖς ὀργανούμενα βρέφη,
συγκλῶν ὁ πατὴρ τῇ στροφῇ τοῦ ὀστράκου,
κλείνει τὸ θερμοκαίρου δεσμουμένας καὶ συγχέει·
καὶ τὴν φυσικὴν ὁ φθορεὺς λύει θέσιν,
ὡς ἂν ἐπ' αὐτῆς ἐνθυμῇ τῆς συζύγου·
τὸ μή τι κοινὸν τὴν βάσμα τιθεὶς ἐκ μέσου·
Εἰσὶ δὲ πολλαὶ φιλότεκνοι μητέρες,
αἳ τοὺς τόκους κλέπτουσι τοῦ γόνου χάριν·
καὶ τῶν πτερῶν θάλπουσι τῇ ζέσει κρύφα·
καὶ τοὺς ἑαυτῶν εὐτυχοῦσι φιλτάτους·
Ἄγρ' ἐπεκάλησαν οἱ παιδοκτόνοι,
τῶν περδίκων ἔρημος τῶν ἀνὴρ καλιᾶς·
Εἰσὶ δέ τινες καὶ γλυκεῖς φυτοσπόροι·

Ἡ καὶ συνωδίνουσι ταῖς θηλυτέραις·
καὶ συνεπωάζουσιν ἐξ εὐσπλαγχνίας·
καὶ συνδιατρίβουσιν ἐξ ἀπληστίας·
καὶ τοῖς νεοττοῖς ἐστιῶσιν ἀφθόνως,
ἀλλ᾽ αὐτῶν πτιγηρῶν ἐκχαράσσουσιν ὅσ᾽ ἂν·
ἔστι δὲ καὶ πλήσσοντας τοὺς μικροψύχους,
εἴτις ὅλως θόρυβος αὐτοῖς ἐμπέσῃ·
καὶ τῶν ψυχῇ κάμνοντας τοὺς βραχυπτέρους,
ἀπολλῶντες αὐτοὺς τὴν κατάπτερον στέγην,
σφίγγουσι καὶ θάλπουσι τοὺς ἐρασμίους·
κἂν ὀρνιθευτὴς ἐκταράξῃ τὰ βρέφη,
τέχνῃ σοφῇ νικῶσιν οἱ φυτοσπόροι,
τῶν μητέρων τὸ φίλτρον ἐκμιμούμενοι.
χωλῶσι μὲν γὰρ τὸ πτερὸν παραυτίκα·
εἰλούμενοι δὲ περὶ τοὺς τούτου πόδας,
δοκοῦσι μικροῦ συμπατεῖσθαι τοῖς τρίβοις·
καὶ τὴν φυγὴν κλέπτουσι τῶν ζητουμένων·
τοὺς ἀπαλοὺς ἐξελίττοντες δεσμούς·
καὶ τοὺς ἀπαθεῖς ἐκκενοῦσι φιλτάτους,
εἰς χεῖρας ἐχθροῦ συμπεσόντας τοὺς ἀπτέρους·
ὁ γὰρ ἐφιστὰς εἰς κενοῦ τὰς ἐλπίδας,
ἀφεὶς τὰ μικρά, πρὸς τὰ μείζονα τρέχει·
μόλις γε μὴν φεύγουσι τὴν τυραννίδα·
μᾶλλον δὲ τὴν ἄτοπον ἐντεῦθεν βλάβην·
μετὰ δὲ μικρόν, συγκαλέσαντες τόπου,

τὰ στικτὰ τἀλλέγουσι μακεδόνων βρέφη.
τὴν τῶν ἐφολκῶν μουσικὴν πρὸς φθεγμάτων.
καὶ τὴν καλιὰν τὴν καλουμένην ἄγω,
πέρδιξ βασιλεὺς, τὴν γουναῖς διαπλέκει.
θαυμάσιον τὸ χρῆμα, καὶ τέχνης γέμον.
ξύλοις γὰρ αὐτὴν μαλθακοῖς συναρμόσας,
θάλαμον ἀπέφηνε μικρὸν τὴν στέγην.
κἀνταῦθα λαθὼν, ἐγκαθίζει τοῖς τόκοις.
οἷς καὶ κόνιν μάλιστα λεπτὴν ἐγχέων,
τῆς φύσεως τὸ κάλλος ἀναφαιδρύνει.
καὶ γῆν ποιεῖ θ' ἑξῆς πορφυρὰν πρὸς τοῦ ξύφους,
ὡς ἡ πελειὰς ἁλμυρίδα τοῖς τόκοις,
τοὺς κακοσίτους, εὐσίτους ἐργάζεται,
πλὴν γ' οὐκ ἀναμένουσι τὰς λοχευτρίας,
πρὸς τὴν ποθεινὴν ἐκτροφὴν τὰ νήπια.
ἀλλὰ περιρρήσσουσι τὴν ἔξω σκέπην,
ἐν τοῖς ὑποκρούμασι τῶν σφαδασμάτων.
ἐπείγεται γὰρ ἐκδραμεῖν πρὸ τοῦ χρόνου.
καὶ μικρὸν ἐκκύπτουσα κινεῖται πλέον.
καὶ θρίβεται μὲν ὀλιγερῶς τὸ θριστίον.
ἐξίπταται δὲ καὶ βαδίζει καὶ τρέχει,
ἰσχυρῶς τὰ λεπτὰ κακκαβάζοντα βρέφη.
τῶν θηλέων δὲ μὴ παρόντων ἐς γάμον,
χωρεῖ πρὸς ὀργὴν ὁ στρατὸς τῶν ἀρρένων.
ἐμφύλιον δὲ συγκροτήσαντες μάχην,

ἄλλως ἐνυβρίζουσι τοῖς νικωμένοις.
ἐν ἡμέραις δέ φασιν ἑπτὰ μὲν κύειν,
καὶ τοὺς νεοττοὺς ἐν τοσαύταις ἐξάγειν,
καὶ πάλιν αὐτοὺς ἐν τοσαύταις ἐκτρέφειν,
καὶ τὴν καλιὰν ἐν τοσαύταις ἐμπλέκειν,
οὕτω θεατρικοὶ τὰς γονὰς οἱ πέρδικες.
εἰσὶ δὲ πρὸς τοῖς δεκτικαῖς χθεσὶ λόφου.
καὶ ζῶσιν ἐν τρώγλαις, τὴν ζυφωδῶν ἀφεσίας.
οὐ πείθεται δὲ συροπέρδιξ ἐνθάδε.
βραχύτερος γάρ ἐστι, καὶ πάντως μέλας.
καὶ ζῇ περιττοῖς ἐστιώμενος λίθοις.
τὸ δὲ δριμὺ σκέροδον ἡ πέρδιξ φάγοι,
βιβρώσκεται μὲν πρόσθε τοῖς βορωτέροις
νοσεῖν δὲ ποιεῖ ναυτιῶσαν τὴν φύσιν.
ἄρρην δὲ πέρδιξ τὴν ὁμόζυγον βλέπων,
ἔσωθεν ἀγχοῦ τοῦ θεάτρου τῆς μάχης,
ὅτε ἐναθλεῖ, βιαιότερος μένει.
αἰσχύνεται γὰρ μὴ κρατηθεὶς αὐθάδης. +



+ περὶ Ἀλεκτρυόνος.

Ἀλεκτρυὼν μὲν τῇ γε νίκῃ τῆς μάχης,
σφριγᾷ καθαρῶς, ἐστοβεῖ, καὶ τέρπεται.
νικώμενος δὲ, μετριάζει σωφρόνως.
καὶ ζῇ σιωπῶν ἐν ἀριθμῷ γερόντων.
νόσῳ γὰρ εὐθὺς, καὶ θανεῖν θᾶσσον θέλοι.
πώγων δὲ μακρὰν αὐθαδῶς ὑποτρέχων,
αὐτοκεάλωρ μέγιστε, τὸν λόφον κλίνει.
δοκεῖ γὰρ αὐτὸν ἐκ προεστίας μόνον,
ἐκπεσεῖν λοιπὸν, καὶ ῥυπῆναι τὸν τῦφον.



+ Περὶ νήττης :~

Τὴν νῆτταν ἰδὼν βασιλεῦ μὴ θαυμάσῃς;
ἡ νήχεται μὲν εἰς ὕδωρ πηδήσασα.
ὑπὲρ τοὺς μαθητὰς ἐνδελεχῆ διδασκάλου.
καταδύουσα δὲ, καὶ πάλιν ἀναδύουσα.
καὶ τὴν κεφαλὴν δαψιλῶς διαβρέχει.
νηττοκτόνος δὲ κίρκος εἰς ταύτην ἰδὼν,
κάτεισιν ὀξέως ἐκ νεφῶν ὡς ἅρπαξ.
ἡ δὲ, σκέπην τὸ ῥεῖθρον εὑρίσκει ξένην.
καὶ γίνεται μὲν εὐφυὴς ὑποδρόμος.
τὸ ζωτικὸν εἴργουσα τῆς πνοῆς χάριν.
ἀμαρόθι δὲ τῆς ῥοῆς ἐκκύψασα,
πάλιν ἐκεῖνον εἶδεν, εἶτα κατέδυ.
χειρῶν δὲ τῆς ἐνταῦθα λυθείσης μάχης,
ὁ μὲν, πάλιν ἀπῆλθεν. ἡ δὲ, νήχεται.
πλουτοῦσα λουτρὸν εὐκεραστῶν καθαρόν.
ἔστι δὲ κίρκος ἄλλος αὐτοκράτωρ,
ὃς νῆτταν ἰδὼν, καὶ καταπτὰς ὑψόθεν,
καὶ συγκαταδὺς αὐθαδῶς, ἀπεπνίγη ·+





+ περὶ χηνός :~



Χὴν δὲ θερμός, καὶ διάπυρος φύσει.
καὶ φιλόλουτρος ἐστὶν ἐν ταῖς νήξεσι.
πόας δὲ καὶ θρίδακας ὑγρὰς ἐσθίων,
πρὸς διαρροὴν ὁλμυρᾶς τὴν γαστέρα.
καὶ πηγὴν λαβὼν, καὶ διαΐλης βιβλίου,
δάφνης τὸ φύλλον οὐδὲ πεινῶν ἂν φάγοι.
φθείρει γὰρ αὐτὸν, ἡ τροφὴ παραυτίκα.
λίθον δὲ τῷ στόματι μὴ κλάζῃ στέγων,
ὅπερ κολοιοῖσι ταῦρον, ἀμαθεῖ πάσον.
τοὺς ἀετοὺς γὰρ φασὶ τοὺς χηνοσκόπους,
ἐκδεδιυῖας ἐνοχλῶν πρὸ τοῦ ψόφους. +

ἶβις

+ περὶ ἴβεως :~

Ἶβις ἐν ἀκταῖς τὴν τροφὴν παρεκλέγει.
καὶ πίμπλαται μὲν ἡ στροφὴ τῶν ἐντέρων.
ἐμφράττεται δὲ τὸ στενὸν τῆς ἐξόδου.
καὶ φρύγεται μὲν τῇ παραφύσῳ ζέσει.
λύει δὲ τὴν ἔμφραξιν ἐξ ὀπισθίου.
κλυστῆρα λοξὸν ὀργανοῦσα τὸ στόμα.
ἅλμην γὰρ ἐγχέασα ῥευστὴν εἰς βάθος,
ἀφῆκε μὲν ὑγρὰς τῆς πυγῆς τὰς ἐκκρίσεις.
καὶ τὴν ὕδραν, καὶ γραῖαν, καὶ φάρμακα,
δύσοιστον ἀπέρριψε κοπρείας βάρος.
καὶ τῶν λιβυκῶν ἐμφαγοῦσα σκορπίων,
ἀντεγερτὰς τοὺς ὑποπτέρους ὄφεις,
ἥκοντας εἰς Αἴγυπτον ἐξ Ἀραβίας.
αὕτη νεοττεύουσα φοινίκων μέσον,
ὑπόπτου ἐκπέφευγεν αἰλούρου θράσος.
καὶ τῆς σελήνης οὐ παρῆλθε τοὺς δρόμους.
μειουμένης κενοῦται, καὶ πληρουμένης. +



περὶ ἀηδόνος

Ὅταν ἀηδὼν ἀκεσώμενον βλέπῃ,
μελῳδὸν ἀσθμάτων ἐξερεύγεται κτύπους.
ἀνήστροφον γὰρ τὴν βοὴν διαπλέκει.
καὶ γὰρ γλαφυρισμοὺς ὀργανοῖ κεκλασμένους,
ἐκ τῆς ἐν ἀκμῇ τῆς ἀκεραίας μουσουργίας.
καὶ μακρὸν ᾄδει, δήπουθεν εὐφραίνοι χρόνους,
εἰ μή τις αὐτὴν ἐκταράττοι βληχέων.
ὅταν δὲ γλῶτταν ἀβατεῖν θεράποις ἴδοι,
τὸν φθόγγον ἁπλοῦν, καὶ βραχὺν παραπλέκει.
μελῳδὸν δὲ ῥυθμοὺς ἐκδιδάσκει τὰ βρέφη.
τὸν πυκνὸν ἐγκόπτουσα τοῦ φθόγγου δρόμον.
ἀηδόνος δέ που τὶς ἐφάζοι κρέας,
ἄγευστον ὕπνου τὴν φύσιν ἐργάζεται.
ταύτην χαλαζῶν, ἄφες ἐκπτῆναι πάλιν.
οἰκήσεται γὰρ ἐν σιγῇ παραυτίκα.
τὸν ἐκ λύπης θάνατον ἁρμοσαμένη.

ἀκανθὶς. ἡ ἀκανθυλλίς.





\+ περὶ ἀκανθίδος. ἢ ἀκανθυλλίδος :~

Τέρπει δ' ἀκανθὶς ἡ πανεύμορφος μάλα,
τοὺς εἰσακούοντας ποικίλως λαλουμένη,
ὀρεκτικῶς ἔχοντας τῶν ᾠδῶν ὀρνέων.
μικρὰ περ γὰρ ἡ δὲ καὶ λιγύφθογγος μὲν οὖσα,
ἐπὶ τραχέσι τῶν ἀκανθῶν ἡ μόνη.
αἷς ἐνδιατρίβουσα τὸν βίου χρόνον,
τροφὴν παρ' αὐτῶν λαμβάνει τὰς ἡμέρας.
ὅθεν φασὶν τοὔνομα ἐκ τούτου ἔχειν,
τὸ τῶν ἀκανθῶν ἐκτρέφεσθαι ἀκόλως.
ταύτης δ' ὅμως τὸ αἷμα καὶ τοῦ ὀρνέου,
τοῦ αἰγιθάλου, φησὶν ὁ Σταγειρίτης,
εἰ μέν τις ἀμφοτέρων συμμίξαι θέλοι,
ἐς ταὐτὸ ἀγγεῖον δὲ καὶ ἓν σχίδοι,
ὅλως ἑνοῦσθαι ταῦτα εἰς κρᾶσιν μίαν.
ἀλλ' ὅπερ ἐστὶ μὲν θάτερον τοῦ θατέρου,
χωρὶς δ' ὑπάρχειν, καὶ μένειν ἀσυγχύτως.
λόγῳ ἀπορρήτῳ τῆς πολυτρόπου,
καὶ θαυματουργοῦ φύσεως τῶν πραγμάτων. .+.



+ περὶ χελιδόνος :·

Ἔχει τι καινὸν ἡ χελιδόνος φύσις·
εἰ γάρ τις αὐτῆς εὐπραγοῦσι τοῖς τόκοις,
φθορεὺς ἀκερδὴς ἐξορύξει τὰς κόρας,
λαβοῦσα σεπτὴν ἡ τροφὴ μήτηρ πόαν, γρ. λεπτὴν
πρὸς τὸν ζοφώδη ἀσθενεῖ τέχνῃ βλέπειν,
αὖθις τὸν ἐσβεσμένον ὄμματι τῶν φιλτάτων.
ἃ καὶ κέρκῳ βαφέντα, λευκαίνεται πόαις,
πρὸ τῆς πτερώσεως αὐτῶν εὐοχετοῦσα σκέπης,
ἀλλ' ἣν πόᾳ σμήχουσα τὴν ἀμορφίαν.
πηλοῦ δὲ μὴ παρόντος εἰ κτίζειν θέλοι,
ψεκάσι πυκναῖς τὸ πτερὸν διαβρέχει.

καὶ χροιὰν δ' ἐπ' αὐτῆς σπιλωθεῖσαν λαμβάνει.
καὶ τὴν καλιὰν ὀργανοῖ περὶ τῶν τέκνων.
ἐναντία δὲ φασὶ τῇ τῶν ὀρνέων,
τὴν μίξιν αὐτῶν ὀφθῆναι καὶ ξένην ⁘ +

φάττα.



+ περὶ φαττῶν . +

Σῶφρον δὲ φαττῶν αὐτοκράτορ γένος
ἀπὸ τοῦ ἰδίου γάρ ἐστιν ὁ θηλείου λέγεις.
κἂν τις τὸ σεμνὸν τῶν θηλειῶν ἀτιμάσῃ,
θνήσκει πορευθεὶς, ὑπὸ τῶν ἀνευθύνων.
ἀλλ' ζητεῖ μόλις κείνοισι τὴν μοιχαλίδα ⁘ +





περὶ τρυγόνων

Ὀργώμενοι δέ τινες ἀπάτης χάριν,
τὰς τρυγόνας θηρῶσιν ἐκ τοῦ ἄσματος·
κηλοῦνται γὰρ αὗται ταῖς ἡδοναῖς ἐνθάδε.
κἂν σωφρόνως φεύγωσι τοὺς νόθους γάμους.
ὥστ' ἔξεστι σκοπεῖν δὲ τὰς παρ' ἡμῖν παρθένους.
μή τις δημιουργὸς πορνικῶν ἐπασμάτων,
ἐς ἡδονῆς θήρατρον ἀγρίως ἑλκύσῃ.



+ Περὶ γλαυκός :

Αἱμύλον ἡ γλαὺξ ἐστὶ λέαστερος φυτόν.
σκοπεῖν γὰρ ἄκρος τῆς πανουργίας τὸν δόλον.
μωκωμένη ταῖς ὄρνισιν ἡμέρας ὅλης.
καὶ ποικίλη στρέφουσα μορφῇ τὴν θέαν,
σείουσα τὰ μικρὰ τῶν ὑποπτερωμένων,
ἃ καὶ παρακαθεύδουσα μέχρις ἑσπέρας,
ὅτε σχέσιν ἔχει τὴν ὄψιν ἀσφαλεστέραν,
τῆς νυκτερινῆς ἀγρευούσης ἰκμάδος,
θηρᾷ παρελθεῖν. καὶ ξυφᾶ χωρὶς πόνων.
τὸν μισθὸν ἀπέχουσα τῶν ἀθυρμάτων. +



+ Περὶ κόκκυγος : +

Κόκκυξ παρῆχθαι τοῖς κιχλιάς ὀρνέων,
οἷς ἐστὶν αὐτὸς ἐμφερὴς ἐκ τῶν τρόπων,
τίκτει μεταξὺ τὰς γονὰς τῶν ὀστράκων.
τῶν γὰρ κιχλιῶν τὰς γονὰς παραδέχεται. γρ. ᾠάς

Ἐν τοῖς περὶ τοὺς τῶν κυλίνδρων ἐγκλάσας,
οὓς εὗρεν αὐτὸς στωμυλευθεὶς ὁ πλάνος,
ὡς ἂν ὁμοίως ἀντιτάξῃ τοὺς τόκους.
καὶ παρ' αὐτῶν ἐξελὼν ὑποψίας,
τὰς ἐσφαλωγὰς τῆς κλοπῆς μὴ φαυλίσῃ,
κρύφος λαθὼν ἔξεισι τῶν ἀποτείων.
Τὸ γὰρ πελεκᾶνου ὡς κρυμῶδες τοῖς κέρασιν,
νεοττοποιεῖν ἐκπυρᾶς ἐγκαλεῖ.
ὅταν δὲ τοῖς ἔκλειψιν ὁ χρόνος δρέψῃ,
κόκκυξ ἐπελθὼν, συγκομίζει τὰ βρέφη ·+



+ Περὶ κίγκλων :~

Τοιαῦτα φασὶ μηχανᾶσθαι τοῖς τόκοις,
καὶ κίσκλον αὐτὸν ὡς ἀνίσχυρον φύσει.
τὸ πῦρ δὲ γλυκάζον, τοῖς πυριζομένοις τρέφει.
οἱ καὶ μετ' αὐτὸ βασιλεῦ τὸ παμφάγον,

τὸν ἀέρα πνεύσωσι τὸν ζωηφόρον,
θνήσκουσιν εὐθύς, ἐκ φθορᾶς ἀντιστρόφου .+



+ περὶ τεττίγων :~

Τοὺς ἄρρενας δὲ τῆς γονῆς τῶν τεττίγων,
ποιεῖ φιλῳδοὺς ἡ μαλακὰς τῆς ἰξύος. γρ. ἰξύος.
οἳ νυκτερινῆς ἐμφορούμενοι δρόσου,
τὸν ῥυθμὸν εὐτείνουσιν εἰς μεσημβρίαν.
ὅταν τὸ θερμὸν τὰς νοτίδας ἁρπάσῃ.
καὶ τοὺς ἀγωγοὺς τῶν μελῶν ἐξικμάσῃ.
θήλεις δὲ σιγῶσιν εὐπρεπῶς νύμφης τρόπον,
καὶ τῶν γυναικῶν σωφρονίζει τὰς λάλους.
αἰδοῦς νόμων ἄρρητον ὠδίνων μέλος .+



+ περὶ τῆς τῶν θρᾳκῶν θήρας, ἐκ τῶν κνωδάλων :-

Πολυπλόκους τείναντες εἰς θήραν βρόχους,
θρᾷκες μὲν ἠρεμοῦσιν, ὡς τοῦ λανθάνειν.
κέρχνοι δὲ συμμαχοῦντες αὐτοῖς ὑψόθεν,
ἐκδειματοῦσι τὰ πτερωτὰ κνώδαλα.
τὰ δέ, πρὸς αὐτοὺς ὑποφεύγει τοὺς βρόχους.
ἐν ταῖς περιβολαῖς δέ, συνωθουμένους,
αἱροῦσι γοργῶς τοὺς φυγάδας ἀθρόους.
καὶ μισθὸν ἐκφέρουσι τοῖς ὑπερμάχοις,
ἐκ τῶν δι' αὐτοὺς εὐχερῶς εἰλημμένων.
εἰ δ' οὖν ἀγαθῶν ἐστερήθησαν φίλων.
εἰς δευτέρους ἥκοντες οἱ θρᾷκες βρόχους :- +

× γρ. ἥκουσι δ' αὖ

+ περὶ τοῦ κινναμώμου ὄρνιθος :- +

Ὄρνις ὁ κιννάμωμος ὠνομασμένος,
τὸ κιννάμωμον εὗρεν ἀγνοούμενον.
ἐξ οὗ καλιὰν ὀργανοῖ τοῖς φιλτάτοις.
μᾶλλον δὲ τοῖς μείραξιν ἐνδοῖς αὐτάναξ,
ἀρωματικὴν ἡδονὴν συμπλέκει :- +

+ ὁ κιννάμωμος ὄρνις
γίνεται ἐν ὀλίγοις ἐκεῖ
εὑρὼν τὴν καλιὰν γράφει
αὐτό :-

μέλισσαι.





+ Περὶ μελισσῶν.

Ἐγὼ δὲ τιμῶν τῶν μελισσῶν τοὺς νόμους,
Φιλῶ μὲν αὐτῶν ἀσύνδετον τὴν φύσιν.
Μισῶ δὲ τοὺς κηφῆνας ὡς νόθους φάγους.
Μέλισσα μὲν γὰρ ἡ φιλεργὸς τεχνῖτις,
ἕλκουσα τὰς πτέρυγας ὀξέως ἡμέρας,
ἐκ τῆς ποθεινῆς συλλογῆς τῶν ἀνθέων.
Κηρὸν δὲ λαθὼν, ἧς τὸ σύμβολον ἐκρύβη.
Τέως γεμὼν ἔμεινεν αὐτόθι που δέμ.
ὁ κλὼψ ὁ δειλός. ὁ θρασὺς ἠλυθρίας. γρ. δηνός
Ἐπεὶ δὲ νὺξ ἦν, καὶ βαθὺς ἤδη γνόφος,
τῶν μὲν φιλεργῶν, ὕπνος εἷλε νήδυμος·
αὐτὸς δὲ τὰς σύραγγας ἐνδὺς ἀτρέμας,
ἥδυσον ἐξήμησεν ἐκ τούτων μέλι.
ἡ σύντονος δ᾽ οἶμαι καὶ σοφὴ καὶ τεχνῖτις, γρ. σύντομος
τὸν κρυπτὸν ὑπώπτευσεν αὐτίκα δόλον.
καὶ συλλαβοῦσα τῆς φυγῆς τὸν ἐργάτην,
κ

ἔμπικρον ἀποφαίνει τὸ βρωθὲν μέλι.
τοῖς γὰρ πτίλοις παίσασαι τῶν μεταφρένων,
ἐξεῖλκον αὐτὸν τῆς κλοπῆς τετυμμένον.
μετὰ δὲ μικρὸν εἰς ῥοὰς αὖθις τρέχοντος.
τότε ἐσχάτην ἔδωκεν ὁ φθορεὺς δίκην.
ἔκτεινον γὰρ αὐτὸν ὡς ὑπόπτερον λύκον,
τοῖς τῶν μελισσῶν ἐμπεσὸν ἀκοντίοις.
ἢ μᾶλλον ἔκτεινον μὴ πονεῖν ἐθισμένον,
τοῖς τῶν φιλεργῶν ἐκτριβῆναι κηρίοις:

+ Περὶ ἐργατῶν μελισσῶν.

Ἀργὸν δὲ ταύταις ἄλλο συμβιοῖ γένος·
ἐφίπταται μὲν τῇ χλιδῇ τῶν ἀνθέων.
γεύεται δὲ καὶ γλυκὺ πλαστὸν μέλι.
συναίρεται δ' οὖν ἐξ ἀμαθοῦς φροντίδος,
τῇ τῶν φιλεργῶν πανταχῆ περιστάσει.
τὶς μὲν γὰρ αὐτῶν ὑδραγωγὸς εὑρέθη.
τὸν αὐλὸν ἐντείνασα τοῖς ποριαθμίοις,
ὡς ἂν ἐπ' αὐτῆς ὀχετὸν τῆς παστάδος.
ὁ τῶν γόνοις ἔξαρχος ἀφθόνως πίνοι.
τὶς δέ, προσβομβεῖ, ἐκπροπέμπει τὰ σίφη.
καὶ δημαγωγεῖ τακτικῶς ἐν τοῖς πόροις.
ἡ δέ, προσπαντὸς ἀμαθοῖς ὑποσκάτοις,
νεκρῶν μελισσῶν, ἐκκομίζει φορτία,
μή πως ἔχῃ τὰ σύμβολα τῆς σήψεως φθόνην. γρ. φθόην.
ἄλλη δὲ τὶς ἄλυπον εἰσφέρει πόνον.

Τῇ τῆς φυλακῆς ἀκριβεστάτῃ παρατάσει·
μὴ τὰς φιλέργους ἡ τῷ χαλαζοῦσα τέως,
λαθοῦσα τοὺς ἔξωθεν, εἰς φθορὴν περαιτέραν,
καὶ τὸν τοσοῦτον ὄλβον αὐτῶν ἁρπάσῃ·
τίς οὖν βασιλεὺς τῆς μεγίστης τὴν φύσιν,
προγνωστικὴν ἔδειξεν εἰς ὄμβρων χύσιν;
ὑπερκαλὸν γοῦν ἂν εἴποι τις ἀπορῶν βλέποι·
τὴν περὶ φιλεργὸν τὸν κρυμὸν σκοπουμένην·
ὥσπερ καὶ γεωργοῖς, καὶ νομεῦσιν ἀγρόταις,
χειμῶνα δεινὸν ζωγραφεῖν εἰς αἰθέρι,
ἐκτὸς δ' ἀτέχνως μαντικῆς πεπεισμένης·
καὶ γὰρ πρὸ αὐτοῦ ἐπιχρονίζει τὸν πόνον.
καὶ μὴ κενὸν ἐκκόψασα τὸ σύμβολον χερσί,
ὅτε ὁ καιρὸς τῆς νομῆς ἀναγκάσῃ,
πρὸς τὰς θύρας ἐς σκιὰν τεμοῦσα τὸν δρόμον·
ἐξίπταται δὲ ταῖς πνοαῖς ἀντιστρόφως,
ὑπερφέρουσα τινὰ τοῖς ποσὶ λίθον·
ὡς ἕρμα λιθῶδες ἐμβριθῶς πρὸς τὸν πόρον. γρ. ἄπορον.
μὴ περιφορῇ ταῖς αὔραις ἡ λεπτότης·
ἡ κίστα γὰρ ἂν εὐπλοήσει καὶ σκάφος,
οὗ μηδὲν ἀλώγιμον ἡ πλάσις ἐκφέρει·
καὶ ζῇ μὲν ἁγνὸν ἡ σοφὴ σχεδὸν βίον,
ἄγευστος οὖσα νεκρικῶν ἀπαρτισμάτων·
ζῴου δὲ παντὸς τὸ χῦτον ὑποπλήσει θέρος.
ὃ πλέξεται γὰρ ἀσφαλῶς τῷ σκηνητείῳ.

Καὶ τῇ φυσικῇ τῆς ψυχῆς εὐθυμίᾳ·
καὶ φιλομούσους ἔστιν ὡς ὄρνις τάξας·
σκιρτήσασα γὰρ εἰς φυσικὴν τὴν ἐργάτιν,
πρὸς συρισμόν, ἐμμελὴς τὸ προστρέφει.
θρύψεις μὲν οὖν καὶ μύρα, καὶ χλιδὴν βίου.
οὐδὲν παρ᾽ αὐτῇ· σωφρονεῖ γὰρ ἐκ πόνων.
ἐνώπιον δὲ καὶ λιθόστρωτον στέφος,
ἐν ἱματισμῷ νυμφικῆς εὐκοσμίας.
πλεονάζει καὶ χρώς, ἢ κονίαμα οὐ φέρει.
ὅθεν τὸν βίον εὐτελῶς ἐν τοῖς πόνοις,
καὶ τῶν γυναικῶν εὐγενίζει τὸν τρόπον.
ἃς τὸ πρὸς ἀβρότητα καὶ θρύψιν βλέπειν,
ὅμως φιλεργοὺς αὐτὰς ὑπάρχειν δεικνύει.
κινεῖ γὰρ αὐτὰς τὸ πτερὸν τῶν ὀμμάτων,
εἰς τὴν πονηρὰν ἐκλογὴν τῶν ἀρρένων.
ἐρωτικοὺς δέ τινα βομβοῦσι κρότον,
ἐκ τῶν μελιχρῶν τῆς βοῆς πετασμάτων,
ὅτε προσιζάνουσιν αὐτοῖς ὡς πόαις.
οἱ καὶ τὸ πικρὸν τῆς ἀμαρτίας μέλι,
τρυγῶσιν ἀφρόνως ἐκμυζῶντες τοὺς γάμους.
πλὴν τυφῶσι δ᾽ οὖν τὰ κέντρα τῶν σκωμμάτων,
κηφῆνας αὐτοὺς τῇ κλοπῇ δεδειγμένους.
Π ἐᾶρος δέ τις ἀκμητὴς, εὔζωνος, μέγας.
ἐρείδεσθαι βαφής, εὐσταθής, καὶ γυννάδας,
θεσμοῖς φυσικοῖς τὸν σεαυτὸν διεξάγει.

κἂν ἀγανακτῶν πρὸς τὸν ὄχλον ἐκφύγῃ,
ἐλαύνεται τὸ σπιθῶνος αὐτοῦ τὸν δρόμον,
καὶ πάλιν αὖθις εὑρεθείς, ὑποστρέφει.
καὶ τὴν προσμίκρου βλαπτικὴν ἀναρχίαν,
λύει πορευθεὶς ἐξορίζων τὴν στάσιν.
αἱ πλάσιδες δ' οὖν καὶ τὸ στερρηνῶν γένος,
ἀεὶ τὸ γλυκὺ κλίζουσι τοῖς σύμβολοις μέλι,
τὴν βασιλικὴν ἔξω φαίνουσι στέγην,
ἐπὶ σκοπιαῖς ὀργανοῦνται ταῖς βάσεσι.
περιβόλοις δὲ τοῖσι τοῖς περιαυλίοις,
κοσμοῦσιν αὐτὴν ἀσφαλῶς ἡδρασμένην.
τινὰς ἑαυτοῖς ἐκδιώκει τοὺς πόνους,
ἡ πρεσβυτικὴ παρὰ τοὺς σμήνους φύλαξ.
καὶ πάλιν αὐτὴν ἄλλο κυκλοῖ φρουρίον,
ὁ τὰς ἐν ἀκμῇ, καὶ πρὸ τῆς ἥβης ἔχει.
φρουροὺς ἀτέχνως τῶν γερόντων δορυφόρων.
κλίνει δὲ καὶ τὸ κέντρον ἀργοῦν τοὺς κεάλους.
ὅτε ἴδη μάλιστα τὸν βασιλέα.
ὃς ἐν μέσῳ ἀκμῇ τῶν μελῶν καὶ τῶν πτερύγων,
ὅτε πετασθῇ τὰς φυλὰς συνεξάγει.
καὶ γὰρ ὁ μόρος πολὺ τάχος τῷ δεσπότῃ,
παρεμβολῇ τῇ ῥοπῇ τοὺς ἀκλίτους νόμους.
ἂν δὲ τύχωσι τῇ παρακμῇ τοῦ χρόνου,
καὶ τοῦ πτεροῦ τείνοντες ὄκνῳ τὸν δρόμον,
ὁ σπιθῶνος ὀρθὸς δίφρον ὀξὺν δείκνυσι.

δι' οὗ φοράδην τοὺς νεκροὺς κομίζεται·
ὅτου δὲ σκηπτόσημα τοῖς ἐκ βασιλέως,
τοὺς ἀπὸ σεμνώματος τῶν ποιοῦσι τὰ ξίφη·
καὶ κανόνος δὲ τινὸς ἢ τέχνης δίχα,
μέλισσα ποιεῖ γραμμικαῖς διαπλάσεις·
τοῦ γὰρ κάτω σύριγξιν ἐστηριγμέναις,
ἀνωτέρας πηγνῦσιν ἀντιστοιθέτους·
καὶ δημιουργεῖ ταῖς ὀπαῖς ταῖς συμμέτροις,
σχήμασιν, ἢ λήμμασιν ὀρθογωνίοις·
φρακτοὺς δὲ λεπτοὺς ἐμβιβάζει τοῖς πόροις·
ὡς ἂν ὁ κηρὸς ἐγχυθεὶς τοῦ διαζάνη,
καὶ συνέχῃ τὸ ῥεῦσαν ἡ πῆξις μέλι· +

Ὄφις δὲ καὶ σφὴξ, καὶ χελιδὼν, καὶ φρῦνος,
μύρμηξ τε καὶ σὴψ, ἀγριθηλὴς καὶ φάλαγξ,
καὶ σαῦρος ὠχρὸς, καὶ φασυνδηνὸς μέροψ,
σμήνει μελισσῶν, δυσμενεῖς ὁδοστάται·
νιφὰς δὲ πυκνή, καὶ πνοὴ πεφυρμένη,
δριμύς τε καπνὸς καὶ νεφῶν ἔστι γνόφος,
τελοῦσιν αὐτὰς ἐκ βροντῆς καὶ συγχύσεως· +

+ περὶ τῶν τὰ ζῷα φθειρόντων :~

Κίρκος δὲ λάρος· γύψ· τρυγών· καὶ κόσσυφος,
σίδηρον φαγόντες, ὅλοις ἀποχώχασιν·
θνήσκει δὲ καὶ κάνθαρος ἐπιόσας μύρῳ·
καὶ γὰρ φαγὼν σκόροδον, γῆ ἐκλείπτευε·

καὶ τοῦ μεγάλου κόρυφον ἄγνου ἐκθλίβει·
κορυδαλλοὶ δέ, τὸ δριμὺ φθείρειν ἄπυ.
κέδρου δὲ φύλλον ἐλαφῶν δήπου φάγοι,
καλαμοδύτης, οὐ βλέπει τὸν ἥλιον·
καὶ τῶν δὲ νεκρῶν καὶ πνοῆς ἀηδία,
ἐκ τῆς τε αἵμης τῆς χελώνης τοῖς πίοι.
φθίσις δὲ τοῖς ἐν ποσὶ δορκάδων στέαρ.
τὸν ἀετὸν δὲ τοῦ ἔτους ὑπεξάγει,
βρωτὸν τὸ θρίδαξ, ἀετῷ δ' ἐστὶ σύμφυτον.
κόραξ δὲ τῶν εὐζώμων οὐ στέγει πόαν.
καὶ τῶν κεραυνῶν τὸν πολὺν τέμνει χεροῦς,
πλῶμα παρεληφθὲν εἰς βορὸν λύκου στόμα:
πίπτει χαραδριὸς δὲ τ' ἰκτίνου πάσας·
κλίνει δὲ λιβὰς τὰς γεράνους ἀμπέλου·
συγκαμπτόντων μὲν ῥάμνα τοὺς πολύποδας.
μεμηνώκασι δὲ κεράβοις πολύποδες.
ὁ κάραβος δὲ ταῖς μυρίναις ἀλγεῖ.
καὶ ταῖς χελιδόσιν ἀντίκεινται πέρδικες.
καὶ τοῖς ἐχίνοις οἱ ποταμογείτονες.
ἔχθος γε μὴν ἔχουσιν αἰθυίαις μέγα.
μακρόπτεροι πελαργοί, καὶ βραδύπτεροι κόρακες.
ἐρωδιὸς δὲ μισεῖ τοὺς λευκοὺς λάρους.
κορυδαλλὶς δέ, πᾶσαν ἀκανθυλλίδα.
καὶ πελεκᾶν ὄρτυγα, καὶ πλώκες κύνας:
ξουθοῦ δὲ πυρρᾶν, ἴυγξ δὲ κερδοῦς ἡ φύσις,



ἐχῖνον ἐχθρὸν οἶδεν, ὃν χέρσος τρέφει.
πάλιν κορῶναι δεσπόζουσι γλαυκῶν τῇ ἡμέρᾳ.
κόραξ δὲ μισεῖ τὸν χλωρίωνα τὸν ἰκτῖνα.
πάλιν ἐχθρὸν τὸν ἐρωδιός, καὶ τρυγὼν πυραλίδα.
τὸν τρυγόνα χλωρεὺς δέ, καὶ τοῦτον κόραξ.
δράκων δὲ κύκνον. ἀετὸν δὲ τὸν μέγαν,
αἰγυπιὸς δέδοικε. τὸν δ', τροχίλης.
κλεὺς δὲ βουβαλίδα, καὶ ταῦρον λέων.
τοὺς ἰνδοὺς τὸν ἐλέφαντα πυρίπνους δράκων.
τοὺς δὲ κύκνος ἀρπάζων φυλάσσεται).
καὶ τοὺς ὄνους αἰγιθὸς ἐχθροὺς ἂν κεῖνοι.
οἱ μὲν γὰρ ὠγκήσαντο. τοῦ δὲ τοὺς τόκους,
ὅτους ἐν ᾠοῖς εὗρεν ἐσπαργανωμένους,
ἀφῆκε νεκροὺς ἐκπεσόντας ὀκλύπος.
ὄφεις δ' ἀπεφείκασι καὶ τὸ γένος σκορπίων.
ἰχνεύμονες δὲ δῆμα τοῦ σοῖν ἀσπίδας.
ἀλέκτορες δὲ τὸν λέοντα τῇ φύσιν.
τούτοις δὲ γαλῆ. μυγαλῆ δὲ πάρδαλις.
πάλιν ἀλώπηξ, δεσπότην κίρκον κεῖνοι.
κόρακα ταῦρος. ἵππον ἰχθῦς ἀνθίας.
δελφὶς φάλαιναν. λάβραξ τὸν κεστρέα.
μύραινα γόγγρον. ἡ δ' ἄγμα πάρδαλιν.
καὶ σκαλαβώτην ὀφθορεὺς κλὼψ σκορπίος.
νάρκη δὲ τοῦτον, ἀστακὸς πολύποδα.
π' ἐκ τόπ(ου)ς/ λέων δὲ πῦρ δέδοικεν ἐκ τόπους γέμ

ἀλίσκεται δ' οὕτως εὐχερῶς ὄφις λύχνοις·
ἐπῳδὸν ἢ μάλιστα, ταῖς χελιδόσι·
μέτεισι φιλῳδός. τῇ δὲ ὀρχήσει, ὄφις·
καὶ παρθένῳ εἰ πίθηκος, οὗ μίμον βλέπεις·
τῆς ἴβεως δὲ τὸ πτερὸν μόνον βλέπων,
ἅπας ὄφις δέδοικεν, ὅπερ ἂν θίγοι·
νεκρωθὲν ὄφις ἐκεῖνος, ἂν δὲ καὶ φάγοι,
τέθνηκεν εὐθύς, ὁ φθορεὺς τὴν γαστέρα·
κύων δὲ σιγᾷ, κἂν ὑλακτεῖν θέλοι·
ὁμοῦ θεωρῶν ἐκ πυρᾶς φθισίμβροτον ·+

+ περὶ τῶν ἀλεξιτηρίων εἰς βασκανίαν ·:+

Ἀντίστασιν δὲ πρὸς τὸ βάσκανον πάθος,
δάφνην φέρουσι φάτται, κίρκος πικρίδα·
πέρδιξ καλάμου, κίχλα μυρσίνης κόμην·
ἐρωδιὸς καρκῖνον, ἄγρωστιν ἔποψ·
φύλλα δρυὸς κόρυδος· ἰκτῖνος θρίον·
ἐλάμνου κορώνη· κίρκος ἄνθος τοῦ κρόκου·
ἄγνον κόραξ ἐγκάρπιον, ἡ τρυγὼν ἴτεαν·
λίνον δὲ ταὼς τοῖς πτεροῖς ἐν ὥραις φέρει·
ἅρπη δὲ κεστρόν, καὶ πελαργὸς πλάτανον·
τῷ μὲν μάλιστα ἐστὶ δυσμενὴς ὄνυξ λέων·
καὶ γὰρ ἐν ᾠοῖς τὸν ἀσπάλακα πεπηγμένον,
ποιεῖ διαρρεῖν, κἂν πτεροῖς ἄκροις θίγοι·
ἡ πλάτανος δὲ τῶν φιλέστερον πάθει,
εἴργει τε ἐκ τοῦ πρὸς τὸ πελάζειν τοῖς τέκνοις·

ὕδρῳ καὶ γὰρ ὀλιθεὶς ἐμπεσοῦσα τῷ κλάδῳ·
Φθορᾶς δὲ πηρὰ τὰς γωνὰς ὑπερτέρας,
Ἄγει τὴν κάλιαν ἄνεθ' ὃς κρύψας λίθον,
ὃς ἡ χελιδὼν τοῦ σεληνοῦ τῆς νόμου·
ἐξάψασα δὲ τοῦ τραχήλου τὸν λίθον,
κύουσα γυνή, καταθανὲς ζῶν τὸ βρέφος·
Μυῖαν δὲ λαβὼν ἐκ ἔθνης πεπνιγμένην,
καὶ τέφραν αὐτῆς ἐκ πυρᾶς ὑποχέας,
τὸν νεκρὸν γὰρ προθήγξον αὐγαῖς ἡλίου·
καὶ γὰρ ἀναζῇ, καὶ τροφαῖς ἐπιτρέχει ·+–



Περὶ τοῦ κυνίνδου ὀρνέου, ὃ καλοῦσι δίκαιρον :~

Γένος τί φασιν ὀρνέων βραχύτατον,
εἶναι πυρίνδην, μεῖζον οὐκ ἄν τις λέγοι,
πέρδικος ᾠοῦ, τοῦ δ' ἔλαττον ἂν πέλοι.
καὶ τοῦ τὸ χρῶμα δ' ἅπερ σανδαράκη.
ἐν τοῖς πάγοις δὲ τοῖς ὑπερτέροις ζῇ,
καὶ ταῖς γε πέτραις ἃς καλοῦσι λιστάδας,
θέλει νεοττοὺς ταῖς κοιλίαις ἐμπλέκειν.
δίκαιρον Ἰνδοὶ αὐτό, φασί, καλέειν.
Ἕλληνας αὖ τις ὡς ἐγώ τ' ἐπυθόμην,
καλεῖν δίκαιον τῇ ἑαυτῶν τε φράσει.
τούτου τὸ ἀφόδευμα ὅστις ἂν λάβῃ,
ἅπαξ βασιλεῦ ὅσον ἂν κόκκου κέγχρου,
πόσει ἀσιλυθὲν κατὰ τέχνην λαθραίᾳ,
τὸν ἐκ μακρᾶν τέθνηκεν αὐτὸς ἡδέως,
ἄνευ πόνου τε καὶ λύπης βεβηκὼς νόον,
ὡς ἂν ὕπνον νήδυμον ζῇ καθεύδων . ~

+ περὶ φρύνης, καὶ χαραδριοῦ :

Φρύνην δέ τις κράτισε τὸ ζῶον βλέπων,
κἂν ἡ φθορᾶς ἐξήρπαξεν αὐτὸν τῆς ἐφόδου,
καθάπερ ἀλγῶν τὸ χρῶμα πλὴν ἰκτέρου.
Χαραδριῷ δὲ τῷ γοργῷ προσβλέπων,
αὖθις νεουργεῖ τοῦ προσώπου τὴν χρόαν.
ἐκτρίβεται γὰρ τῆς βαφῆς ἡ πυκνότης,
τοῖς τοῦ νόθου φθίνοντος ἠρέμα κρόκου.
οὕτω δὲ δυοῖν τῇ φρύνῃ τοῖν ἡπάτοιν,
τὸ μέν, φθορὰν ἤνεγκε τοῖς ἐσθίουσι,
τὸ δέ, ξένον φάρμακον αὐτοῖς εὑρέθη .+



Ἀλλ' εἴ τις ἂν μῦν τὸν ἐπιδέκα τῶν λάβοι,
καὶ συνθλάσειεν ὥς φασι τρίψας μέγα,
εἶτ' ἀπομάξας ἐκβάλοι τ' εὐφυέως,
ταύτης τὸ αἷμα καὶ δόσθε ἴσῳ χλιαρά,
ποιεῖν ἐν οἴνῳ ἢ τῷ εὐάγει τῷ πόμα,
πορευθεὶς ἀπέκλινε τὸν πεπωκότα. +



ΠΕΡΙ ΖΩΩΝ ΤΩΝ ΧΕΡΣΑΙΩΝ ΒΙΒΛΙΟΝ.

Περὶ λέοντος :

Θηρῶν βασιλεὺς ὁ θρασὺς ἄναξ λέων,
ὧν τὴν φυσικὴν μαρτυρεῖ μοναρχίαν,
καὶ στέρνα, σπλάγχνα, καὶ σφυρῶν βάσεις.
καὶ βλέμμα, καὶ θρίξ, καὶ κατάφρακτον στόμα.
ῥώμη τε πλευρῶν, καὶ βεβηκὸς ἰσχύον.
Καὶ νεῦρα πυκνά, καὶ ποδῶν μέγας ὄνυξ.
καὶ βῆμα, καὶ σκίρτημα, καὶ δέρμου τάρσος.
αὐχὴν δὲ πᾶς εἷς ἐξ ἀνάρθρων ὀστέων,
πρὸς τὰς ἀγωγὰς τῶν σκελῶν οὐ κάμπτεται.
ἀνήκεται γὰρ τῇ στροφῇ τῶν σωμάτων,
εἰ καὶ τῶν θηρῶν γαυριῶν ἐπιτρέχει.
καὶ χεῖλον ὅσον οὖν τὸ ἐκχέει τὸ θηρίον.
ἔρρωται δὲ νεῦρον τὸ χερῶς ὅλον βρύχον.
ἄλλη φάλαγξ γὰρ ἔστι καὶ ἥττον πίνοι.
καὶ θυμοειδές, εἰ λιμὸς πολεμήσει βοι.
ἐθὰς δὲ μὴ κεροῦ, τοῖς προσεῖσιν τὸ ῥέθη.

τροφῆς κορεσθεὶς δ' ἀντιλοξεῖς ὀγλυνάδας.
ὅταν δὲ γηρᾷ, καὶ τροφῆς χρείαν ἔχοι,
ἐπεὶ τὸ θάρρος εἰς τὸ θηρᾶν ὀκνέει,
φοιτᾷ περὶ τοὺς ἀγρούς, καὶ νομαῖς ἐναυλίζεται. +



\+ περὶ λεαίνης +

Λέαινα δὲ κράτιστε πεντάκις κύει.
ἐν πέντε μὲν τὸ πρῶτον. εἶτα δὶς δύο.
καὶ τρεῖς ἐφεξῆς. ἐν τῷ τετάρτῳ δ' αὖ δύο.
καὶ σκύμνον ἁπλοῦν εἰς τὸ πέμπτον ἐξάγει,
καὶ τίθεται κλεῖς εἰς τῆς γονῆς τὰς ἐξόδους.
τῆς φύσεως τὸν ἕκτον εἰργούσης τόκον.
ζυγοῦν δὲ μιμῶν τὰ βρέφη περιέρχεται.

σκύλαξι τὴν φλοιοῖς ἐμφερῆ καὶ μετρίοις·
καὶ λευκὸν ἐμπίπτοντα μαστεύει γάλα·
δυοῖν δὲ μηνῶν, καὶ βαδίζει καὶ τρέχει·
καὶ τὴν φυσικὴν ἀρετὴν ἐνδείκνυται· ⁓

λέαινα.



+ Παρατηρήσεις τῶν ζώων, ἐνταῦθα.

Ναρκᾶν μὲν οἶδεν ἄνθρωπος ἀκάνθαις ψαύσας,
νάρκην τὸν ἰχθὺν εἴπερ εἰς χεῖρας λάβοι·
καὶ πήγνυται ναῦς ἐν τῇ θερείᾳ ναυκλήρῳ·
καὶ ῥοῦς θαλασσίων, ἀγκυρῶν εἰ περιέχοι·
ἵππου δὲ ταχὺν ἴχνος ἀμβλύνει λύκου·
καὶ δὴ φέρον ὀξύν, τὸ σφυρὸν τούτου στρέφει·
σκίλλοις δὲ φύλλοις ἀνθυποκλάζει λύκος·
λέων δὲ χαυνοῖ τὸν δρόμον τὸ σύντονον·
τὸ θαῦμα καινόν, τοῖς πετήλοις τῶν πτεινῶν.

Ζῴων δὲ πολλῶν πόρρωθεν ἐκφοβεῖ γένος· ς'
αὐτὸς τὸ πῦρ δέδοικεν ὡς φύσει ζέων.
κλοπῆς δὲ τηρεῖ τὰς γονὰς ἐλευθέρας·
τῶν καταστροφὰς εὐτυχεῖν ἀποκρύφως.
περιέρχεται γὰρ ἐξαμείβων τὰς βάσεις,
ὑπὸ σκολιαῖς, καὶ στροφαῖς πεφυρμέναις.
καὶ δρῶν ἀσαφεῖς τῶν ποδῶν τὰς ἐμβάσεις,
κέρκου σπαραγμοῖς ἐκ ῥιζῶν ἐσταλμένης,
τὸν οἶδε κίνδυνον οὐ περὶ τῆς μάχης μόνον,
τὸ θυμοειδὲς τῆς ψυχῆς προεξιώνων,
ἐκ τοῦ κατὰ βούλησιν ἐν χρώμασι γῶν,
ἀλλὰ τὸ κινοῦν τὰ τῶν ζῴων αὐτοκράτωρ,
Εἰ καί τις αὐτὸν ὕπνος ἐκ πόνου λάβοι·
καὶ γὰρ βασιλεὺς εὑρεθεὶς θηροκράτωρ,
καὶ τὸ καθεύδειν ἀπερόπτης γίνεται.
θηρῶν δὲ καὶ σαπρῶν τῶν κρεῶν τὸ περισσεῦον,
ὅτε κορεσθῇ τῆς τροφῆς τῆς ἀφθόνου,
ἐᾷ τὰ λοιπὰ νεκρικῶς ἐλυσπηθέντα.
καὶ πνευστιᾷ δεινὸν ἐγχανὼν τοῖς λειψάνοις,
καὶ γίνεται τὸ πνεῦμα φυλακὴ ξένη.
δυσωδίας κρέασιν ἱδρυμένη.
Τηρεῖ γὰρ αὐτὰ κἂν θρασὺς θὴρ ἐγγίσῃ.
λέων γηραιὸς ἔξεισιν εἰς θήραν πάλιν,
καθάπερ εἰς πῦρ τῆς τροφῆς πεπαυμένης.
καὶ μὴ τύχῃ βρώματος ἐξευρημάτων,

Ὁ δ' ἀθὲς τὰ θέλγητρα εὐγνώμως διαπτύει.
τὴν γὰρ ὀδωδὸς, οὐχ' ἑκὼν ἄν τις φάγοι.
ἄρτι οὖν κατ' αὐτῶν ὁ δρομεὺς στρουθὸς ἔψαυ.
καὶ τὰς πύλας τὰς ἀπέζαν εὑρὼν ἐσθίει.
πιέζει δὲ τὰς γαστέρας τὰ σώματα.
νοσφοῦ ἐμῆς ἀρετῆς εἰς τὸν βίον.
Εἰ μὴ γὰρ ἡ φλέγουσα μικροῦ ψυχρότης,
ἐπεῖχεν αὐτοῦ τὰς φορὰς καὶ τὸ θράσος,
ἄτοπος ἂν ὄλεθρος ἡμᾶς ἐσθίει.
καὶ πολλάκις αὐτὸν ἁρπαγὴν τέρπει κρέας.
ἄρτι ἐσθίει κάμηλον, ὁ τῆς γελοίας τύχης. +

πάρδαλις, ἢ πάνθηρ.

+ Περὶ παρδάλεως, ἢ πάνθηρος :~

ἢ πάνθηρα

Πανοῦργον ἡ πάρδαλις ἐστὶ θηρίον.
φύσει πονηρὸν, οἷα κερδῶ τοὺς τρόπους.

πλὴν τοῦτό φασιν, ὥς τινα εὐωδίαν,
ἔχουσα πᾶν θαυμαστὸν ἀρρήτῳ λόγῳ, γρ. φύσει
ἅπαντα θέλγει τοῦ δρυμοῦ τὰ θηρία,
καὶ τοῦτ' ἀγρεὺς τοῦδε ἔχουσα τοῦ τρόπου.
τὴν ὀσφρῆσιν ποτε χρήζουσα ἡ ἀδδηφάγος,
κρύπτει ἑαυτὴν ἐν λόχμαισι τοῖς σκιοῖς,
ὡς τὸ ἐντυχεῖν ἐργῶδες αὐτῇ τυγχάνει.
κἀκεῖ λιγυρὸν ἐκπνέουσα τὸ δόλογον,
τὰ δ' εὐτυχῆ μὲν ζῶα, αἶγας ἀγρείους,
νεβρούς, συάγρους, καὶ λαγώς, καὶ δορκάδας,
καὶ τ' ἄλλα ὅσα οἱ παρέχει εὐωχίαν,
ἕλκει δι' αὐτοῦ πρὸς τὴν ἑαυτῆς ἕδραν, γρ. ἕλκει πρὸς αὐτὴν τῷ λιγυρῷ ῥαδίως.
καθώσπερ αὐλοὶ ἀΐττες τῶν μάγων,
τοὺς τλήμονας ἕλκουσιν ἡδέως νέους,
ἐς πῦρ τὸ τοῦ ἔρωτος οἰστροφόρον.
Κἄπειτα δ' ἂν αὐτῇ προσπελάσωσιν ἄφνω, γρ. προσπελάσωσιν
ἡ θὴρ ἀποθρώσκουσα ἠγρειωμένη,
ὥσπερ ἁλιεύς τις, ὡς ἀνὴρ θηροσκόπος,
ὥσπερ κυνηγέτης τε ἄκρος τὴν τέχνην,
θηρᾶ μὲν ἤδη καὶ τροφὰς χωρὶς πόνου. γρ. λαβοῦσα



+ περὶ κυνὸς ἰνδικοῦ

Παντὸς κυνὸς μέγιστος ἰνδὸς πᾶς κύων.
ὃς οὐδὲ τὸν λέοντα παρόντα τρέμει.
ἀνθίσταται δὲ καὶ σφριγᾷ πρὸς τὴν μάχην.
καὶ τοῖς βρυχηθμοῖς ἀντιπλήττει τὸ στόμα.
ἐγκειμένου δὲ τοῦ θηρὸς τοῦ αὐθάδη.
καὶ δάκνεται μέν, ἀντιδάκνει δὲ πλέον.
τέλος δὲ τοῦ γένυος αὐτὸν ἁρπάσας,
ἐπιλάκτει τῆς γῆς, καὶ σπαράττει, καὶ κτείνει.
κἂν τις ἐπελθὼν ἀποκόψῃ τὸ σκέλος,
ἕως τὸν μέγαν ἀγκῶνα καὶ περὶ γνυάδα,
μόλις ὁ νεκρὸς ἐπανοίγει τὸ στόμα +



+ περὶ μαντιχώρου

Ὁ μαντιχώρας θὴρ ἐν ἰνδοῖς εὑρέθη.
δασύς, ἐρυθρός, εἶδος ἀνθρώπου φέρων·
ὄμματα πυρσοῖς ἐμφερῆ γλαυκοχρόοις.
ὀφρῦς ἱκανὰς ἐκφοβοῦν καὶ μακρὰς ἔχον.
ὦτα στεγανά, τὸ δερμὴ κημέτει.
καὶ σφαιροειδῆ, καὶ ψιλὰ πρὸς τὰς βάσεις.
ὀδόντας ὀξεῖς, δυσθεώρητον στόμα.
τὰ δ' ἄλλα σαφῶς ἐντελὴς ὁ θὴρ λέων.
μόνην τε μὴν ἔγκεντρον οὐρὰν ἐκφύων,
ἑκηβόλος μὲν ἐστὶ τοξότης φύσει.
ποιεῖ δὲ νεκροὺς ταῖς βολαῖς τοὺς ὁπλίτας.
οἱ τούτου ὁρμαῖς ἐλλοχῶσιν ἀφέτοις.
κἂν τις ἀπαντῶν εὑρεθῇ κατὰ στόμα,
γοργῶς ἀνακλῶν τὸν τῶν βελῶν τὸν ἐργάτιν.

ὠθεῖ κατ' αὐτῶν καὶ προβαίνει συντόνως.
κινούμενον δ' οὕτω τὸ ἀναφυὲς πάλιν
καινοὺς ὀϊστοὺς καὶ τομοὺς τὸ θηρίον.
καὶ τὸν διώκτην εὐτρεπὴς καταισχύνει.
ὄντων δὲ πολλῶν τῶν περὶ Ἰνδοῖς θηρίων,
καὶ πρὸς τὸ φαγεῖν ἀκρατῶν καὶ δυσμάχων,
ἀνθρωποφάγος ἐστὶν ἐκλήθη μόνος.
Ἰνδοὶ δὲ λαβόντες τὸ βρέφος τοῦ θηρίου,
λίθοις διαθλῶσι τὰ πρὸς ἄκρον ἰχύον,
ὡς ἂν ἀναφυὲς πρὸς τὰ κέντρα δείκνυ,
ποιεῖ τιθασὸν ἐξ ἁφῆς ἀκινδύνου :·+

ἐλέφας.



+ περὶ ἐλέφαντος :~

Μέγιστος ἆρ' πέφυκε θὴρ ὑπὲρ φύσιν,
ἐλέφας αὐτὸς, ὅς γ' ἰδεῖν τέρας πέλει,
βροτοῖσι πᾶσι, τοῖς τε λοιποῖς θηρίοις·
πελώριον γὰρ τὸ ἔξοχον δέμας φέρων,
ἔχει τε πάντως καὶ τεράστια μέλη·
τό τ' ἀγλειωπὸν καὶ ξένον οὕτως ἰδέα,
τὸν τοῖς ὑπὲρ φύσεσιν ἐοικὼς ὄμμασι·
τούς τε στιβαροὺς καὶ περιμήκεις ἐκτόπως,
ὀδόντας ἀργοὺς, οἷς ἀναιρεῖ τὴν μάχην,
ταύρους ἀπηνεῖς, καὶ λέοντας ἀλκίμους·
τήν δ' ἐς πρόσθιον καὶ μακρὰν προβοσκίδα·
ἢ τοὺς ἰσχύλας χεῶνθος χερὸς δίκην,
λύπης γ' ἀφειδῶς καὶ ῥέπει κατὰ χθόνα·
τὰ στέρνα δ' εὐρώεντα, μαζούς, καὶ σκέλη,
ἅ γε ἡ φύσις γ' ἔζευξεν ὁ γηοδημάγα·
ὁ δ' ἄμετρος καὶ βίαιος ὤστε καὶ δένδρον μέγα,
πρόρριζον ἐξέλκυσεν ἐγγείτας μόνον·
χαίρει δ' ἀκούων μουσικῶν τε ὀργάνων,
ἐρρυθμικὰ βαίνων πρὸς μέλος τῶν ἀσμάτων·
κἂν τῇ μίξει ὀργάνων ἄγε τοίχῳ ἐμπέσοι,
λέως μὲν ἐξέλατ' ἂν ἰσχυρὸς βίη
πλὴν οὐ λάγνως εἰμὶ πρός γε τὴν συνουσίαν,
τῆς θηλείας χωρήσειν, ἀλλὰ σωφρόνως,
πόρρω τι τῶν ἄλλων γε αἰδοῦς εἵνεκα.

τρέφει μὲν αὐτούς, οἱ κλάδοι τῶν δένδρων,
κισσοῦ τε φύλλα καὶ κριθὴ καὶ χόρτος.
ὕδωρ δὲ πίνει πλῆθος ἄφθονον πάνυ.
πλὴν οὐ καθαρὸν καὶ διειδὲς οὐ θέλει,
ἀλλ᾽ οὖν ῥυπαρὸν καὶ κατεσπιλωμένον.
αἰσθάνεται μέντοι ὡς ἔγωγ᾽ ἐπυθόμην,
^ φωνῆς ^ ὁ ποὺς τερθρείας καὶ σιωπῇ κατὰ τοῖς χορδαῖς.
καὶ πείθεται δὲ τοῖς φιλοῦσι δεσπόταις,
ἀργοῦντ᾽ αὐτὸν ἐᾷς ὅποι ἂν αὐτὸς θέλῃ.
ὀρθοστάδην δὲ καὶ καθεύδει παννύχως,
^ ὥστε ^ ὅτε ἐγχανάσθη σαιμὴν ἀγχέρως πέλει.
ὅτε δ᾽ ὁ μέγιστος ἀστὴρ φωσφόρος,
ἀνέρχεται κάτωθεν αἰγλήεις ὄχος,
ὁ μὲν κατευθὺ τοῦ τέλους λαμπηδόνος,
ὡς χεῖρ᾽ ἀναρων τὴν ἁπλῆν προβοσκίδα,
στηρίζεται ὡς μὲν προσκυνεῖ τε καὶ σέβει.
τότε δ᾽ αὖ σελήνην ἐκφανεῖσαν μὲν νέαν,
ἀσκαρδαμυκτὶ τὴν εὐσεβῶς τε προσβλέπει,
ὥσπερ θεὰν φέροντα τὸ σέλας νέον,
ἤδη γεραίρει τῷδε θρησκείας τρόπῳ.
τὸ γοῦν λόγου ἄμοιρον τῶν ζώων ἄναξ,
θεοὺς σέβονται ὡς ἐνεστὶν ἑκάστῳ.
οἱ δὲ ζοφώδεις τὰς φρένας τῇ πλάνῃ,
ἀμφιγνοοῦσιν εἴτι θεὸν τυγχάνει,
ἢ μή, βέβηλοι γελῶντες, ὢ φεῦ τῆς πλάνης +



+ περὶ μονοκέρωτος :~

μονόκερως θὴρ περὶ ἰνδοῖς εὑρέθη.
ξένος μὲν ἰδεῖν, ἀδελφὰ ξ' ἐπιπατέσοι,
βαρὺς μαχητής. εἰ δὲ κύψας εὐδάκοι,
μάλιστα ῥάβδων εὐφυὴς χειρουργία,
πείσας παρελθεῖν τὴν φορὰν τοῦ κινδύνου.
τρέχων δὲ πυκνὰ τὸν κορυφαῖον λόφον,
ἔχει τὸ μακρόν, ὦ φθορᾶς πλῆρες κέρας.
ὃ τῶν ἀκμαίων ἐκπεφυκὸς ὀφρύων.
οὐ κοῖλον ἐστὶν, οὐδὲ κοῦφον ὡς κέρας,
ἀλλ' ἐξ ὁμαλοῦς τῆς φυῆς τεθηγμένον.
τραχύτερον δὲ καὶ σιδηρέας ἐλύης.
ὡς εἰς ἑλιγμοὺς πρὸς φυὰς κεκλωσμένον.
ὀξύτερον δὲ καὶ τεθηγμένου βέλους,
ὡς μὴ κεκυφὸς εἰς ἑτέρας πάλιν τρόπους.

μέγαν δὲ παρ' ἐκεῖνο τῆς ἀκμῆς δίχα,
ξανθὴν γεμὴν κεφαλίς τε τὴν λάχνην φέρει.
οὐρὰν δὲ συὸς, καὶ λεοντεῖον στόμα.
καὶ θυμὸν μὲν ὀξὺς, ἀλλ' ἀνάρθρους τοὺς πόδας.
ἀσπάζεται δὲ τοὺς ἀπανθρώπους τόπους.
καὶ ζῇ παροικῶν καὶ πλανώμενος μόνος.
καὶ προσερχόμενος ἀλλόφυλα θηρίων γένη,
ὁ θὴρ προσηνής, ὡς ἐθὰς ποίμνῃ σκύλαξ.
τὸ συγγενὲς δὲ καὶ κατὰ φύσιν φίλον,
τοὐναντίον μάλιστα καὶ δὲ ξένοισιν κεῖνοι.
περαιοῦται δὲ παρὰ τὸν θηλυμόνον.
οἷς εὐχαλινοῖς ἐκδαμάζων τὸν τῦφον.
ἕως τὸ ῥεῦσον τῆς γονῆς ἀφυβρίσῃ. ⁘

+ ὅπως τοῖς ζώοις τὰ κέρατα φύεται :+

Τοῖς κτήνεσι δὲ πᾶσι τοῖς κερασφόροις,
ἐγγάστριος μὲν ἀκριβῶς ἡ θερμότης.
ἢ τὰς τοῦ ἐγκεφάλου ἀρδούσας φλέβας,
χαυνοῦσα ποιεῖ συστολῆς ἐλευθέρας.
κἀκ τοῦ λεπτοῦ ἐμπεφυκὸς ὀστέον,
τὰς ἀναδόσεις τῆς τροφῆς προσλαμβάνει.
κινούμενον δὲ τῇ ῥύμῃ τοῦ πνεύματος,
ἐκ τῆς χλιδῆς γινόμενον ἐκπέρᾳ τοῦ πόρου.
ἐν οἷς τὸ μανὸν τῶν κερατοφόρων ὀστέον,
τὰς ἐξαγούσας ὀργανοῖ τῶν ἰκμάδων,
τοῦ συνεχοῦς πήγνυντος αὐτὰς ἀέρος.

τὸ γοῦν δ' ἀπηγοῦ καὶ νεωστὶ θερμὸν κρέας,
ὡς θᾶττον τὸ παγὲν ἐκδραμεῖν ἢ πεσεῖν μόνον.
καὶ τοῦτο πολλοῖς ἄλλο κατόπιν φέρον.
οὐ γὰρ δύναται τοῦ ἀφρεμεῖν τὰς ἰκμάδας,
πηγνυμένας ἔσωθεν τοὺς χαύνους τόπους :+



+ περὶ κέρατος τοῦ ὀνάγρου :~

Ἰνδῶν βασιλεῦ, τῆς ἐμῆς φωνῆς κλύες·
καὶ δὸς καθαροῦ τὰς ἀποκρίσεις λόγου.
τί δή ποτ' ἐστὶν ὁ κρατὴρ τοῦ σοῦ πότου,
καὶ γὰρ ῥοδιαυγὴς καὶ θερμήκης εὑρέθη.
καὶ τρεῖς ἔχει ζωστῆρας ὡς λίθου φλέβας·
λευκόν τε καὶ μέλανα καὶ πορφυραῖον;
ὄναγρος ἡμῖν ἐστί φησί τις μέγας.
ὃς τὴν ἄγαν λευκὴν τὴν τοῦ ποδὸς δέρας φέρ,

αὐτὴ ἐρυθρὰν τὴν κεφαλὴν δεικνύει,
ἢ τοῦτο μοι δίδωσι τὸ ξένον κλέος·
ἐκ κύπελλον ἀπλοῦν τῆς λαβῆς τοῦ ὀφρύ·
διὸ οἴων μέθης εἴρηκα λαμβάνεις χάριν;
ὁρᾷ γὰρ αὐτὸς καὶ κατὰ πῆχυν μέγα·
ἢ φιλοτιμῇ καὶ προεκπίνοις τὴν θέαν;
καὶ μὴν ἀναιρεῖ τὴν κάκην ἤδη ὅς μέθην,
ἰοῦ τε παντὸς αὐτὸ φάρμακον μόνον,
τὴν ἱερὰν καλῶς γε καθαίρει νόσον·
ἀστράγαλον δὲ καὶ χολῆς κύστιν φέρει,
τῶν μονωνύχων βέλτιστε τῶν ἀγνωμόνων θηρίον;
ὁ τὸν γαληνοῦ τὸ κεράτινον φυτόν,
οὗ τὸ κέρας ἀνθρώπων ἐξ ἀνδίας,
θημάγα γοργόν, ἢ δὲ κηρύττειν θέλοι,
φεῦγε πτερωτὸν ἐκμιμούμενος τάχος.
φονεὺς γάρ ἐστι κἂν παρέλθῃ λακτίσας





+ Περὶ κυνοκεφάλων :

Οἶδά τι κυνόμορφον ἀνθρώπων γένος.
ὃ φθέγγεται μὲν οὐδέν, ἀλλ' ὠρύεται.
παντὸς δὲ κυνὸς εὐδρομώτερον μένον,
τὰς θήρας ἀγρεῖ, καὶ σιτεῖται τὰ κρέα,
ξανθεύεται, καὶ φρυγανεύεται, φωσφόρου ζέσει.
στολίζεται δὲ ταῖς δοραῖς τῶν ἐκπόνων,
καὶ ζῇ λυποῦν ἄνθρωπον ἁπλῶς οὐδένα.
ἰνδῶν τε συνίησι φωνῆς ὀξέως·
καὶ βοῦς χλόριν γάλακτος ἠπίως νέμει. +



ἠλεκτρογενῆ ζῶα.

+ Περὶ τῶν ἠλεκτρογενῶν ζώων :

Ἡ γῆ μὲν ἰνδῶν, δένδρον ἐξ ὄρους φύει.
τὸ δὲ τρέφει κανθαρίσι θηρίον πάλιν·
κἂν θαρσαλέος ἐκδοθῇ τοῦ ἀκεσίδων.

ἠλέκτρινον γὰρ ἐστὶν αὐτῷ τὸ ῥύφος.
ἔχει δὲ λεπτοὺς τῷ σφόδρα μήκει τοὺς πόδας·
καὶ τοῦτ' ἐμπλῶν ὁ κναφεὺς ἐκ τοῦ κλάδου,
νιφάσι πυκναῖς εὐτελῶν ἀκοντίων,
ἐκεῖνος οὐ θεὶς μηχανῆς ἀποθλίβει.
σὺ δὲ βλέπων θαύμαζε τὰς φοινικίδας,
ἃς εἶχε χερσὶ τῆς βαφῆς ὁ τεχνίτης.
ἡ γὰρ ἀποστάξασα τῆς θλίψεως δρόσος,
ἀνῆκεν αὐτοῖς εὐφυοῦς ἐσθουχρόαν :· +



+ Περὶ ἀνθρωπομόρφου ζώου, ἢ ὀνοκενταύρου ·

Ἀνθρωπόμορφον εἶδον ἰνδὲ θηρίον.
τί δή ποτ' ἐστί; φράζε φησὶ τὴν πλάσιν.
πολλὴν γὰρ ἡμᾶς τὴν ἀπορουμένην ἀγείων.
τὸ πρόσωπον ἀνδρὸς εἶδον ἰνδὲ καὶ κόμην.

Καὶ στέρνα, καὶ τράχηλον ἄχρις ἰξύος.
καὶ χεῖρας αὐτὰς ἀνδρικάς, καὶ δακτύλους.
ἔπειτα μαζοὺς τοὺς γυναικὸς ἡρμοσμένους.
ἔχεις δὲ πλευρά, λαπάραι, γαστήρ, πόδες.
ὄνου καθαροῦ ὀργανοῦσι τὴν θέαν.
ὀξύτατον δὲ καὶ βαρύθυμον μόνον,
βάδην μὲν οὐ προέρχεσιν, ὡς θὴρ δὲ τρέχει.
καὶ γὰρ κινεῖ τὰς χεῖρας ὡς καὶ τοὺς πόδας.
καθήμενον δέ, πνευστιᾷ μετὰ δρόμον.
ἔστι δὲ τὸ ἀφρῶδες ἐνδὲ τι χέσαν.
θνήσκει δὲ ληφθὲν ἐκ λιμοῦ, κἂν ᾖ βρέφος.
τὸ δουλίου γὰρ ἦμαρ οὐ θέλει βλέπειν.
ὀνοκένταυρος ἐστὶν αὐτὸς ὡς λέγεις,
ζῶον πονηρὸν εἶπεν ἰνδὸς πρὸς τάδε.

κατώβλεψ.



\+ περὶ καθώβλεπος :~

Πέλει τι παγχάλεπον ἐν τοῖς θηρίοις,
ὃ ἡ Λίβυσσα φασὶ γῆ τίκτει τέρας·
ταύρῳ ἐοικὸς ἀξιοπίστως τὴν πλάσιν·
βλέπει βλοσυρὸν ὥσπερ αὐθάδης λέων·
καὶ γὰρ δασείας τὰς ὀφρῦς ἔχει μάλα·
τὰ δ' ὄσσ' ἐλάττω τῶν βοείων τυγχάνει·
ἄγρως τὸ φάσμα καὶ κατευθὺ οὐ δόλως,
ὁρᾷ δ' ἐνεστὼν ἀεὶ γῆς ἐμβὸν κάτω·
ἐντεῦθεν καθώβλεψ καὶ κέκληται τοῦτό γε·
λόφος δ' ἄνωθεν τῆς κορυφῆς ἄρχεται·
κάθεισι δ' εἰς μέτωπον αὐτοδεξιάδην·
ἵππεια χαίτη τ' ἔχθος, θάμβος δ' ἰδεῖν,
τοῖς ἐντυχοῦσι καὶ φόβος δή τι μέγας·
ῥίζας σιτεῖται πάνυ δηλητηρίους,
ἃς μηδὲ πρὸς ψαύσειεν ἄλλος θηρίων,
γρ. δὴ ἄνευ βλάβης πώποτε ἢ καὶ κινδύνων·
ἐπὰν δ' ὑποβλέψειε ταυρηδὸν ἄφνω,
ὁ θὴρ ἀνιστῶν τὸν λόφον μετάρσιον,
φαίνεται φρικωδέστερον ἤπερ τις κάπρος·
γυμνουμένων τε τῶν ἑαυτοῦ χειλέων,
ἐξάγει πνεῦμα τῆς φάρυγγος ἐκ μέσου,
ὀξὺ βαρές τε βρώμου πεπλησμένον,
ὅ, τὰ ἀναπνέοντα ζῷα κτείνει,
δεινῶς κακοῦνται καὶ ἀφωνίαις ἅμα,
σπασμοῖς τε πίπτει φθαρτικοῖς παραυτίκα. +

λύκος.



Περὶ λύκων

Ὕδωρ διανέοντες ἀθρόοι λύκοι,
μήπως τὸν ἑσμὸν ἡ ῥοὴ περιτρέποι,
τὰς οὐρὰς ἐνδακόντες ἀλλήλων μόνον,
πρὸς τοὺς ἰλίγγους ἀνθορμοῦσι τοῦ πόρου.
Λύκος δὲ φασὶν, ἐκκορεσθεὶς, οὐ λύκος·
ἀλλ' ἀμνὸς ἂν φαίνοιτο ποιμνίων μέσον.
ἀδύνατος γὰρ ὁ φθορεὺς ἐπραΰνθη.
ἀλλ' ἔστιν οἰδῶν τῇ τροφῇ τὴν γαστέρα.
καὶ τὴν ὑπογλωττίδα τῶν παρισθμίων.
καὶ τοῦ κόρου πεφθέντος ἐν βραχεῖ χρόνῳ,
ὁ θὴρ πάλιν δείκνυσι τὸν πρῶτον λύκον.
βραχὺν δὲ τὸν τράχηλον ἐκ φύσεως φέρων,
ἐπιστρέφει τὸ σῶμα, καὶ ῥᾳδίως τρέχει.
καὶ τοὔμπροσθεν ἰδὼν ἐξελίττει τοῦ δρόμου.

Τὰς γὰρ ἀκτῖνας τοῦ ἡλίου οὐ στέγει.
καὶ τῆς γενέθλης τὸν τοσοῦτον ἁρπάσας,
διασπαραχθὲν ἐκλυθέντα δεικνύει.
ὁρᾷ δὲ μακρὰν ὀξυδερκὴς τὸ φῶς.
καὶ γλαὺξ ἀλέγχνως τὴν πρὸ νύκτα καὶ σκότος.
θνήσκει δὲ γοργῶς, μηδὲ τὴν μυδώσης νόσον.
φασὶν πόαν κεάλισε τὴν λυχνοκαύτου :+

ἄρκτος.



+ Περὶ ἄρκτου :-

Ἄσημον ἄρκτος ἀποτίκτουσα κρέας,
σαφῶς διαρθροῖ, καὶ τυποῖ, καὶ φαιδρύνει,
καὶ δημιουργεῖ πλαστικῶς τοῦτο βρέφος.
λεαίνασα τῷ μαλθακῆς γλώττης πόνῳ,
καὶ λασίοις θάλψασα μηροῖς τὸν τόκον,
ἐνῆκε θηρίων μητρικὸν τῷ φιλτάτῳ .+



Περὶ Ἀλώπεκος

Τὸ παγκάκιστον ἡ ἀλώπηξ θηρίον,
δολοπλόκος πέφυκεν ἡ δέ γ' ἐκ τύπως.
ὅτε γὰρ εὕρῃ βρῶσιν οὐ δυναμένη,
τέχνην πανοῦργον μηχανᾶται τοῦ δόλου,
ὡς τὴν ἐντυχεῖν που τῇ τροφῇ τῆς κοιλίας.
καὶ δὴ πρὸς ἐκκρούωσι τὰς ὄρνις τότε,
ἐξεῦρε τοῖον ῥᾳδιούργημα τρόπου.
ἁπλοῖ ἑαυτὴν ὑπτίαν ἐν ἀβάτῳ,
χέρσῳ τε τῇ ἐρήμῳ τῇ ἄβατος τοῖς ἀνδράσι.
κἂν κάθει νεκροῦ πτῶμα προσποιουμένη,
κεῖται ἀκράδαντος οἷά περ θνησείδιον.
αἱ δ' ἀγνοοῦσαι τὸ κρύφιον τῆς πλάνης,

ὅμως καταπίπτουσι τοῦ φαγεῖν χάριν.
ἡ δὲ τροφῆς χρῄζουσα τῶν προθυμίᾳ,
θεφόσκουσα ἐπάνωθεν ἥπερ καὶ κατεσθίει.
ὁ τοῦ δ' ἐχῖνος πρὸς φθορὰν ἀλειπτούμενος,
ἀθρῇ ἑαυτοῦ, δειματούμενος τότε,
αὑτὸν συνειλεῖ σφαιροειδῶς καὶ στρέφει,
καὶ τῶν ἀκανθῶν ταῖς χαλαῖς ἀπευθύνων,
εἴργει κακῶσαι ταῖς ἀκμαῖς τὸν κυνηγέτει.
ἡ δ' ἐνδακοῦμεν τοῦ δεῖν εὐλαβουμένη,
ἔχει πρὸς οὐρὰν δεξιῶς κερδὼ μέγα.
καὶ ὅς γ' ἀπνευστὶ τῶν κακῶν διαμένων, πε δευ φερ,
οὔρῳ, παρευθὺς δειλιῶς ἀπεπνίγη.

ὕαινα.



Περὶ ὑαίνης.

Ἄρρην μὲν ἦν ὕαινα τὸν χθές που χρόνον,
θήλεις δὲ τὸ νῦν, δρᾶται καὶ πάλαι πάλιν.
καὶ μὴ τὸ πάλαι τὸ κοινὸν ὅπως γίνεται.
κλόνου τὰ τ' ἀπείρουσα τὴν διφυΐαν.

ἂν δ' ἐντύχῃ δέ τινι καθεύδοντί που,
ἐν ᾗ συχνὰ προσῆλθε πελμάτων βάσει.
καὶ τὴν ἑαυτῆς δεξιὰν ἐκτείνασα,
καθῆκεν εἰς τὴν εὐνὰ τοῦ κοιμωμένου.
κάρου γὰρ εἶναι φασὶν αὐτὴν ἐργάτιν.
ὀρύξασα γοῦν τῇ κεφαλῇ πυθμένα,
προσέθηκε τὴν φθαρτικὴν γυμνὴν ὑπωλίαν.
ἡ μαῖα δ' ἔνδον τῆς φονώσης ἐμφύσης,
ὁ παῖς λαθὼν αἴφνης, δυστυχῶς ἀπεπνίγη.
πλὴν δὲ καθεύδοντος εἴ που τις θίγοι,
τῇ δεξιᾷ πτέρυγι τῆς θαλαττίας,
ἄρρητον εὐθὺς ἐμβαλεῖ τούτῳ φρίκην,
καὶ δεῖμα πολλῶν ἀντάξιον φαρμάκων. γρ. φασμάτων.
ἄγνυα δὲ τίκτεται τοὺς κύνας δόλῳ,
τοὺς ἐν θήρᾳ τιθεῖσα τῶν ταρίχων.
ὁ τότε γὰρ αὐγῆς δακτύλους ἐν ἑσπέρᾳ,
προσῆκεν αὐταῖς τὴν σκιὰν τοῦ σώματος.
τὸ καὶ τὸ πῦν κρύπτεται τοῦ δρόμου σέλας.
καὶ κατασιγάσασα τὰς ξιφοθηρίας,
τοὺς φαρμακοὺς εὔτεχνος ἐξ ἐπασμάτων,
ἀνεῖλε πικρῶς ἀγνοούσας τὸν δόλον :- +



θώς.



+ περὶ θωός:

Πόσοις δὲ κοινῶς ἐμμαθὼν αἰδοῦς νόμοις,
αἰγύπτιος θώς, ἐξ ὧν ἀνθρώπους λέγοι·
ποίαν δὲ ἱερὰν τὴν κλίνην ὁμαιχμεῖ,
ἀγχιστεὺς ἢ καὶ συμμαχῶν ἡμῖν φίλος·
ἂν δ' ἀλλοῖς τὴν δεσμὴν ἧς ἐπιδέχοι;
πόθεν βασιλεὺς σωφρονεῖν πεπεισμένος;
ἀμορβίους πέφευγεν ἀθηναῖος γάμους;
μή, καθάπαξ ἔλεγχος εὑρέθη ζέων,
τῆς σοῦ ἰσχυρῶν ἐν φθοραῖς ἀγρυπνίας; +

βοῦς.



Περὶ βοός.

Πάγχρηστος ἡ βοῦς, καὶ κομίζει φορτία·
καὶ τοῖς γεωργοῖς ἐστὶ φέρει πρὸς τοὺς πόνους·
καὶ γάλα ποιεῖ, καὶ τραπέζας ἀρτύει·
μετὰ τελευτὴν καὶ μὴ τέλος ἐξάγει ·~

βοῦς ὀπισθονόμος.



Περὶ τῶν ὀπισθονόμων βοῶν ἐν Ἰνδίᾳ :~

Ἰνδῶν βασιλεῦ τὴν μεγάλην ἔρημον,
ἐκ Λιβύης ἢ κοιλάδα τῆς παρηλίου·
πῶς τὴν πόαν κείρουσιν ἐξ ὀπισθίου·
βόες πρὸ τοῦ μὲν ἐς νομὰς ἠθισμένοι·
ὅτι γε φησὶν οὐ χωροῦσι τὰ πρόσω·
ἐγκείμενον γὰρ τῶν κεράτων τὸ πλάτος,
τὴν ὀπτικὴν δύναμιν αὐτοῖς ἀμβλέως ἔχει ·+



+ Περὶ αἰγός.

Τὴν αἶγα φασὶν ἀπὸ τῶν ὤτων πνέειν,
ἀγροῦ τῶν οὐδὲν τῆς ῥινὸς πεφραγμένης·
Χίτωνα λαβὼν ἐκ δορᾶς λυκοσπάδος,
τοῦτον περιβάτευ, μηδαμῶς ἐπενδύσῃς·
ποιεῖ γὰρ εὐθὺς κνησμονήν τε καὶ φρίκην·
πταρμοὺς ἀτέρπεις ἐμβαλὼν τῇ καρδίᾳ·
Οἴνῳ δὲ κυνόδηκτον ὁ κρύψας λίθον,
στάσιν πονηρὰν ἐξεγείρει τοῖς φίλοις·
Τοῖς κανθάροις δὲ τοῖς κακόσμοις θηρίοις,
εἴ τις γε μικρὸν τοῦ μύρου ἐπιρράνοι,
οὗτοι παρ' εὐθὺς μὴ φέροντες οὐδόλως,
τὴν εὐωδίαν θνήσκουσιν οἰκτίστῳ μόρῳ·
Ἄλλως τε φασὶ καὶ γυναῖκας τῷ τόκῳ,
οἷον ἐκβρέφεσθαι δυσαποδεστάτως ἀεί,
συγγενῆ ἅπαξ τοῦ μύρου εὐωδίαν· +

σημ. περὶ τῆς αἰγὸς τῆς λυκοσπάδος·

σημ. παρατήρησις·

σημ. ἐκβρέφει



+ περὶ ταράνδου ·

Ζῷον τί καὶ τάρανδος ἐν σκύθαις μέγα·
ταύρῳ γὰρ αὐτῆς ἐμφερῆ τοῦ κείνου,
τὸν ὄγκον ἀθροῦν ἐστὶ μηκάδων, καὶ τὸν δρόμον·
κλέπτων δὲ τὴν αἴσθησιν ὡς χαμαιλέων,
ἐς ποικίλα χρώματα τὴν τρίχα τρέπει·
τὸν ἄστατον γὰρ καὶ παλίμβολον βίον,
καὶ τῶν πονηρῶν ζωγραφεῖ τὰς ἐμφάσεις·
οἳ παρακερδαίνουσι τοὺς ἁπλουστέρους,
πλανῶντες ἀεί, τῇ τροπῇ τῆς καρδίας· γρ. δορκάδος·
τούτου βασιλεῦ τὴν δορὰν θώραξ φέρει,
ὑπῆρξε πάντως εὐτονώτερος βέλους :· +





περὶ ἐλάφου

τῶν ἀγλαῶν καὶ ξένων δωρημάτων,
ἅτ' ἡ φύσις δίδωσιν ἀρρήτῳ τρόπῳ,
ζώοις τε πᾶσιν ἡμέροις τε ἀγρίοις.
καὶ γὰρ λέληθε πα πως ἔλαφος τοὺς ὄφεις,
ἀνταρσίους πέλοντας αὐτῆς ἐκτόπως,
νικᾷ δὲ κραταιῶς ἐν μάχῃ κατὰ κράτος,
τρόπῳ φυσικῷ ὡς ἔνεστιν εἰκάσαι.
τῆς γὰρ βίῃ τοι ἐξελαυνούσης ὄφιν,
ὁ δὲ φρίκης τε καὶ φόβου πεπλησμένος,
ἐκ χηραμοῦ ζοφώδη κρυφθεὶς ἐξέδυ.
ὡς οὖν ἔλαφος ἤσθετο αὐτὸ προσελκέον,
τροφὰς ἐρευνῶσας τοὺς ἑαυτῆς μυκτῆρας,
πρὸς τῇ ἐρεμνῇ εἰσδύσει τοῦ θηρίου,
εἰς πυθμένα ἤδη, καὶ τὸν ἑρπετὸν ἐξάγει,

δίκην ἴυστος τῇ πνοῇ τῆς αὐτοῦ βίᾳ.
κἂν περ δ' ἀνέλθῃ τὸ ἄκρον τοῦ θηρίου,
ἢ μὴν λαβοῦσα, δυσμενῶς κατεσθίει.
καὶ τῶς πέπαυται ἡ μάχη παραυτίκα :-
ὥσπερ δὲ τοῖς γε φασὶν, εἴ τις τῆς τ' ἐκ τοῦ κέδρος,
ξέσει λεπτῶς εἶτα τὸ ξέσμα τόδε,
αὖθις κατάλισε ἐμβαλὼν ἐπ' ἄνθρακας,
ὁ καπνὸς ὅλους ἐξελάσει τοὺς ὄφεις,
ὅσπερ τὸ θάρσαν μὴ δυναμένους φέρειν :-

πτὼξ. ἢ λαγώς. ἢ λαγωός.

+ περὶ πτωκός, ἢ λαγωοῦ, ὄφεώς τε, καὶ λέοντος :-

Πῶς καὶ καθεύδει καὶ δοκεῖ πάλιν βλέπειν,
ὄφις τε καὶ πτὼξ, καὶ θυμοῦ πλήρης λέων.
ἐκπέταται γὰρ ἡ χλανὶς τῶν ὀμμάτων,
ἀγρουπνοῦντος χιτῶνος ἀπημελημένου,
φρουροῦντος αὐτοῖς, ὡς διόπτρας τὰς κόρας.
πόθεν τὸν αὐτὸν οἱ ταχεῖς πτῶκες τρόπον.

ἄλλους μὲν ὠδίνουσιν εἰς φῶς ἐκχύτους,
ἄλλους δὲ κατέχουσιν ὡς νόθους ἔτι,
πρὸς δευτέραν γέννησιν ὀργανουμένους·
καὶ πρὶν ἐπελθεῖν τὴν γονὴν τὴν ὑστέραν,
ἄλλους πάλιν κύουσιν ἐξ ἄλλου σπόρου. +



+ περὶ ὕστριχος.

Ὕστριξ δὲ τὰς ἄνωθεν ἐκπέμπει τρίχας,
ἃς ἡ φύσις ἔθηξε καὶ πρὸ τῆς μάχης·
φρίξασα γὰρ τὰ νῶτα βάλλει τοὺς πέλας,
ὡς ἀπὸ νευρᾶς εὐστοχῶν τις τοξότης.

χαμαιλέ(ων)



+ περὶ χαμαιλέοντος·

Χαμαιλέων κάλλιστα τὴν χροιὰν τρέπει·
τὸ σῶμα γὰρ δ᾽ αὖ ἄντικρυς οὐκ ἔχει τρίχας·
καὶ νῦν μὲν ὠχρός, νῦν δὲ φαιὸς γίγνεται·
εἶτα πελιδνός, εἶτα κιῤῥὸς ἐς βάθος·
καὶ νῦν ἐρυθρός, ὡς παραυτίκα μίξας·
καὶ στικτὸς ἂν γένοιτο δορκάδος δίκην·
καὶ ξανθὸς ἂν φαίνοιτο καθάπερ λέων·
ὅλου δὲ τοῦ σώματος ἀλλοιουμένου,
τὸ λευκὸν ἠγνόησεν ἡ φύσις μόνον·
στεῤῥοῦ δὲ τῷ σώματι καίτ᾽ ἔχων ξύλου,
ὄφεις λυπεῖ σφύζοντας αὐτοῦ ἐσθίειν·
καὶ γὰρ ἑαυτὸν εὐφυῶς ἐπιστρέφων,
μάτην περιχαίνοντας αὐτοὺς δεικνύει·
κἄν τις δ᾽ ὠμηστὴς τοῦ φορίνην ἐνδάκοι,

περὶ τοῦτο δεινόν ἐστι τὸ κάρφος ἠρεμοῦν·
καὶ γὰρ στεγανὴν ἐνδιδύσκεται σκέπην·
καὶ τῶν πονηρῶν ἐξελέγχεται τὸ θράσος,
τοῦ ζῴου τῇ φύσει τις ὁ μαθὴς τῶν αὐτόθι : +


σαῦρος



+ περὶ Σαύρου, καὶ ἐχίνου θαλαττίου :-

Σαῦρον τὸν ὠχρόν, ἠλεμῶν διασπάσας,
ἁρμόζεται ζῶν ταῖς τομαῖς ἐκ τῶν πάλιν.
Εἰσὶ δὲ σαφῶς τῶν μερῶν αἱ συνθέσεις,
ὅταν συνεχῶς τοῖς ποσὶν ἐφερπύσῃ ·~
Καὶ τοὺς ἐχίνου σωφρονεῖν τοὺς σκορπίους,
οὓς εἶδεν ἀκτῆς ὁ μυχὸς κόλπος τρέφειν.
τάχ' ἂν ἴδοις κράτιστε συντεθειμένους,
καὶ ζῶντα τὸν πρὶν δυστυχῶς τεθραυσμένον.
ὃς εἰ πολὺς τὸ ῥεῖθρον σημαίνοι κλύδων,
ἧς τὰς ἀκάνθας ἐμβριθεῖς ἄρας λίθους,
μήπως ὑπαχθεὶς ἐκκυλισθῇ τῇ ῥύμῃ,
πρὸς τὸν μυχηθμὸν καρτερᾶς τῆς βράσεως ·+

ἐχῖνος θαλάττιος.



ἐχῖνος χερσαῖος.



+ περὶ ἐχίνου τοῦ χερσαίου.

Ἐχῖνος ὁ ἐκ γῆς οἶδεν ἀκάνθαις βρύων·
καὶ ταῖς ὀπώραις ἐγκυλινδεῖσθαι κρύφα.
καὶ ταῖς ἀκάνθαις ἐμπαρείσας ἰσχάδας,
εἰς τοὺς ἑαυτοῦ φωλεοὺς θησαυρίζειν,
ὃ κ᾽ ἔδειξε λιμοῦ συμφορὰν ὀλεθρίου.
συστέλλεται δέ, καὶ τὸ πᾶν σῶμα στρέφει.
τὸν θηρατὴν ἔτ᾽ ἴσα προσιόντα βλέπων.
δοκεῖ δὲ νεκρὸς τὴν πνοὴν ἀποπνίγων,
ἄπου σε μὴν θέλοι τις αὐτὸν λαμβάνειν,
ὅθεν τις ἐνουρῶν τὴν δορὰν διαβρέχει.
ἀνθίσταται γὰρ χαλεπαῖς νόσων βίαις,
ἂν οὐ μολυνθῇ τῇ βροχῇ τῆς αἰχμώνης. +

+ περὶ τοῦ οὔρου τοῦ λυγκός :~

Οὖρον δὲ λυγκὸς ἐκδραμὼν εἰς λίθον,
στερρὸς τις ἐστὶν ἐγκοπεὺς πρὸς τοὺς λίθους.
τῆς κτίσεως δὲ τοὺς βαρεῖς ἄγων λίθους,
εἰς πῦρ κομίζεται, καὶ ποτέ, διαφθείρει .~

λύγξ



τοῦ χερσαίου ἐχίνου.

Τοῦ χερσαίου ἐχίνου τὴν σποδὸν κεκαυμένου,
πίνῃ νεωστὶ συντεθεῖσαν εἰς χρείαν,
φασὶ λάβροι καὶ ψιλοῖς ῥίγας φυγεῖν.
οἴνῳ δὲ λευκῷ συγκραθεῖσαν εἰς πόσιν,
ἀλγοῦσι νεφροῖς ὀρεχθῆναι φάρμακον.
ἢ πάρεστι καυμοῦ ἐκπυρὰς ἀναψύχειν.
καὶ φλεγμονῆς οἴδημα συστέλλειν ζέον

+ περὶ ἱπποκάμπου.

Φαγών τις ὀπτὴν ἱπποκάμπου γαστέρα,
λύτταν κυνικὴν εἰς φθαρτικὴν ἐξάγει.
οἴνῳ δὲ συζέσασαν οὐκ ἂν ἐσθίοι.
κυνώδης γὰρ εὐθὺς ἡ τροφὴ τὴν γαστέρα.
καὶ γίνεται λύγξ, εἶτα βήξ, εἶτα τρόμος.
εἶτα σπαραγμὸς καὶ μελῶν καὶ καρδίας.
καὶ θερμὸς τὸν ἐγκέφαλον ὀργῶσα ζέσις.
λήθη τε καὶ μύκημα, καὶ βαρὺς κάρος.
καὶ βλέμμα νωθρόν, ἀλλὰ πῦρ σχεδὸν φέρον.
καὶ χύσις ὑγρῶν ἐκ ἑνὸς παχυτέρων.
καὶ δίψος ὡς φλὸξ ἐκπιέζον τὴν φύσιν.
καὶ μετρίου ῥεύσαντος ἐν τούτοις χρόνου,
τῷ φαρμάκῳ τοὐναντίον, πᾶν τὸ σῶμα ῥηγνύει

μυγαλή.





+ περὶ μυγαλῆς.

Ἡ μυγαλὴ δέδοικεν ἐκ τύπου φύσεως,
γραμμὰς ἁμαξῶν ἐκ τροχῶν εἰργασμένας.
ὑπερκαλοῦσα γὰρ αὐτάς, ἐμπεσοῦσα καὶ τρέμει.
βραδύνασα δέ, καὶ τελευτᾷ πολλάκις.
καὶ τοὺς ὑπ' αὐτῆς δυστυχῶς δεδηγμένους,
ἐκεῖθεν ἀρθείς, ἐξιᾶται χοῦς μόνος.
καὶ γὰρ τὸ λυποῦν εὐμαρῶς ὑπεξάγει.
βραχὺς ἐπ' αὐτῆς τῆς τομῆς πεπασμένος. +

κροκόδειλος χερσαῖος.



+ περὶ κροκοδείλου χερσαίου :~

Ὠὸν δὲ σωροῦ ὁ κροκόδειλος κύει.
μετὰ δὲ τὴν ἔκλειψιν εὐθὺς τῶν τόκων,

ἐγχυθέντος ἐξέρπει εἰς αὐτὸν σκορπίος·
ἢ φθοῦ τελευτᾷ πρὸς φθορὰν πεπληγμένος ·+

σαλαμάνδρα.



+ περὶ σαλαμάνδρας·

Τὴν σαλαμάνδραν καὶ ἀὴρ, καὶ γῆ τρέφει,
ἐν ὀστέοις γάρ ἐστιν ἰσχνὸν θηρίον·
καὶ δέρμα λιτόν, καὶ πτερῶν ἔχει σκέπην·
ἀλλ' οὖν σὺ μικρὸν αὐτὸ δράγμα θαυμάσῃς·
τὸ πῦρ γὰρ αὐτὴ οὐ φοβεῖται τὸ παμφάγον·
ἐφίπταται δέ, καὶ διώκει τὴν ζέσιν.
καὶ σβέννυσι μόνη τῆς καμίνου τὴν φλόγα·
κινεῖ δὲ πυκνὴν τοῖς βαναύσοις ἀσβόλην,
ψυχρός τις αὐτοῖς ἀνθρακεὺς δεδειγμένη· τ΄ δη
καὶ ζῇ μεταξὺ τῆς πυρᾶς καὶ τοῦ βρόμου·
καὶ σπᾶται καπνοῦ, τὸ δριμὺ τοῖς πνέει·
τῆς αἰθάλης πρὸς ὕψος ἠρεθισμένης ·+

δράκων αἰθιοπικός.



+ Περὶ δρακόντων αἰθιόπων :~

Αἰθιόπων δράκοντες ἐμπρησμοῦ δέοι,
χαίνοντες ἀσθμαίνουσιν εἰς τὸν ἀέρα.
καὶ τῶν πετεινῶν τὰς κρεμαστὰς ἀγέλας,
ἴυγξι θερμῆς τῆς πνοῆς κηλουμένας,
καὶ σπωμένας ἄνωθεν εἰς γῆν ἀθρόας,
ἐκ τῶν γνάθων ἕλκουσιν εἰς τὴν γαστέρα.
θήρας δὲ νυκτὸς ἐγχαραδροῖ δεσμάζοις.
καὶ βοῦς τιθασσούς, καὶ κριοὺς ἐξ αὐλίων.
ἄμαχον ἰσχὺν εὐλυγοῦντες αὐχένας. +

ὄφις



+ Περὶ ὄφεως :~

Δόνακι τυφθεὶς ὁ δρακοὺς ἅπαξ ὄφις,
κεῖται θανατωθείς. ἂν δὲ τύψῃς πολλάκις,

ὀργᾷ κατὰ σοῦ, καὶ περιβάλλει τὸ στόμα,
πρὸς αὐτὸ τὸ παράλαξιν ἠρεθισμένον ·~

Δακὼν ὁ ὄφις δ' αὖ ἄνθρωπον αὐτοκράτωρ,
αὖθις ὑπέρχεται τοὺς μυχοὺς οὐκ ἰσχύει.
τῆς γῆς ἀπαθῶν τῆς φερούσης τὴν δίκην.
ἐκβάλλει γὰρ αὐτὸν ὡς φονευτὴν ἀγρέθλῳ,
πικρῶς διαζῶν τὰς νομὰς ὑπαιθρίους ·~

ἀσπίς.

+ Περὶ τοῦ δήγματος τῆς ἀσπίδος :~

Τῆς ἀσπίδος τὸ δῆγμα, δῆγμα θανάτου.
μή, μή, γαληνὲ μηδὲ φάρμακον χέῃς.
ὁ σφιγμὸς ἐξέλιπεν, ὁ ζῶν ἐρρύη.
καὶ σὺ τὸ θάρρος τοῖς ὀνητοῖς εἰσφέρεις;
ἔα. νικᾷ τὸ δῆγμα τὴν εὐτεχνίαν ·~

ὄφις κεράστης

Περὶ ὄφεως τοῦ κεράστου

Λακές τις Ἱππόκρατες ἀκριβῶς ὄφις,
ὃς ἐπὶ κεφαλῇ γαυριῶν κερασφόρῳ.
τὸν ἄνδρα δακών, τῆς πνοῆς ὑπεξάγει.
τί γοῦν ἐπ' αὐτῷ δεῖς φρονεῖν τῷ Περικλέου;
οὐκ οἶδα φησί· θερμὸς γὰρ ἄχθουν πάθος,
ὃ καθάπαξ ἔρρευσεν εἰς τὴν καρδίαν.
ἢ τῶν λαβρῶν ἐκπεφαύλισται κρίσεις;
ἄρ' ἡ νόσος παρῆλθε καὶ τοὺς σοὺς ὅρους,
τῶν ἀφορισμῶν εἰς κενὸν πεφρασμένων;
τί τοῦτο; ναρκᾷς τὴν περίστασιν τρέμων;
ὁ σωτὴρ ὀκνεῖς καὶ τέχνην ζηλεῖς χρόνου,
πορθοῦν κατ' αὐτῆς τῆς νομῆς τῆς ἐν βάθει,
ἢ δεσμόν, ἢ σίδηρον, ἢ στέαρ φέρειν,
ἢ φαρμάκου κύλικα θερμὴν τὸ κεράσειν;
ἐγὼ δὲ λαβὼν εὐτελῆ ψύλλαν μόνην,
ἀπόκρυφον γὰρ ἐκκαλύπτω νῦν λόγον,
καὶ θεὶς ἐπ' αὐτῆς τῆς λαβῆς τοῦ δήγματος,
λύω τὸ λυποῦν, καὶ καθείργω τὴν νόσον.
καὶ τῆς τελευτῆς ἐξορίζω τὸν φόβον.

ὄφις ἰνδικός.



Περὶ ὄφεως τοῦ ἰνδικοῦ

Ἔστι τις ὃν ἐκάλεσε παρ' ἰνδοῖς ὄφις.
ὡς σπιθαμὴ τὸ μῆκος, ἡ δὲ γε χρόα,

δοκεῖ φέρειν ἐξ αἵματα βαθὺ πορφύρας·
καὶ πάντα λευκὴ τῆς κεφαλῆς ἡ πλάσις,
καθάπερ ἁπλοῦν καὶ νεόβλαστον γάλα·
καὶ ζῶν μὲν αὐτός, συνδακρύει σοι καὶ ἰδρύει·
νωθὸς γὰρ ἐστὶ, καὶ ψιλοῦ γέρων ἐᾶται·
ἄγρους δὲ νυκτός, καὶ κρεμασθεὶς ἡμέρας,
καὶ κατὰ μικρὸν τὴν πνοὴν ἀποκρίνων,
ἰχῶρα τοῦ στόματος ὑγρὸν ἐκπτύει·
καὶ πήγνυται τὸ ῥεῦμα εἰς εἶδος μέλαν·
μέλας δὲ νεκρὸς αὖθις ἐστάλαξε λιβάδας,
αἳ δακρύων ἔχουσιν ἀρκεύθου γέαν·
τοῦ Χ βασιλεῦ καὶ σταυρῶν δήπου μία,
νεκρὸν πορευθεὶς τὸν πίονα δεικνύει·
ὁ μὲν γὰρ ἐγκέφαλος οὐκ ἔχων βάσιν,
ἐκ τῶν ἀγωγῶν τῆς ῥινὸς διαρρέει·
τὸ σύντονον δὲ τῆς φθορᾶς τῶν ὀμμάτων,
πυκναῖς τὸ λυφθὲν ἐκτροπαῖς διαστρέφει·
σπασμοὺς τε ποιεῖ, καὶ θρασὺ δῆλον τρόμον·
καὶ δακρύων ἄκλαυστον ἐν τελευτῶσι κλίσιν·
τὸ περίδρομον τοίνυν καὶ βαφῆς ἄνευ μέλαν,
ἀκμαῖς ὀδυνῶν, καὶ χρονίᾳ τῷ φθόνῳ,
καὶ κνησμοῖ, καὶ βῆχα, καὶ θερμοῦ κλέους,
καὶ καρδίας βρύχοντα πταρμοὺς εἰσφέρει ·+



+ Περὶ ὄφεως τοῦ χερσύδρου.

Πατῶν δέ τις χέρσυδρον ἐκλείπει πνέων.
κἂν ἄλλος εὐθὺς τοῦ παρελθόντος θίγῃ,
τοῖς δακτύλοις κρατεῖ τε φλυκταίνας φέρει :+





+ Περὶ ὄφεως ἀραβικοῦ :~

Ὄφις δέ τις ἄθυμος ἐκ γῆς Ἀράβων
κλεινῆς φονευθεὶς, τὸν φονευτὴν ὀξέως.
πλὴν ἐν συριγμοῖς, ἐκ πνοῆς διεξόδοις·
τῶν ὤφθων διαρρεῖ, καὶ χειλῶν καὶ στερνίου.
νωθὴς γάρ ἐστι, καὶ παλαίστης μετρίως .~

Ἀλλ' εἰς τὸν Ἰνδὸν τὸν ποταμὸν τὸν μέγαν, + σημείωσαι περὶ τοῦ ἐν τῷ Ἰνδῷ ποταμῷ λίθου.
ἔστι τις ὡς λέγουσι πορφυροῦς λίθος.
ὃς καὶ φθονικῶς ἐκδιώκει τοὺς ὄφεις,
ὡς λιβανωτίς, ἐκ χαμαὶ δὴ χλόη. σημείωσαι
καὶ πυκνόφυλλος ἄγνος ἐψεκασμένος.

καὶ γίνεται πῦρ τῆς χυθείσης ἰκμάδα·
ἐμπίζεται δὲ καὶ τὸ θερμὸν ἀμβλέως·
δριμὺν τὸν καπνὸν πυρπολούμενος βρύει,
καὶ τοῦ γυναιξὶν ἀδρανῆ δεινῶς τὰ βρέφη·
καὶ δεῖσμα δεινοῦ εὐμόρφως ἀναδρέπει ·~

ϟγ´ περὶ τοῦ ἐν Ἰνδίᾳ αὐτοῦ ποταμοῦ σκώληκος·

Πλωτοῖς τὸν Ἰνδὸν τίκτεται σκώληξ μόνον ·
ὃς ἐστὶν ἑπτάπηχυς εἰς ἧττον πάχος·
ζῶον δὲ πολὺ καὶ ξύλον, ἀλλὰ καὶ λίθον,
ὀδοῦσι δισσοῖν αὐτὸν ὕδρα συντρίβει·
καὶ κρύπτεται μέν, εἰ δὲ τοῦτο ὄχθαις πίνοι,
κάμηλος, ἢ βοῦς, ἐμφρυγέσα τῷ πνίγει,
ἥρπασε δὴ τὸ κτῆνος ὁ πανερπύτης·
τοῦτον δὲ τοῖς κύμβαλον ἐξάψας βρόχον,
ὕλαιν κατεσθίων εὐλυχνὸν ἔγνω φλόγα·
καὶ γὰρ ὁ νεκρὸς ἀνθρακεὺς, ἢ πυρφόρος,
ἠλεκτροειδὲς ἐκ κείνου λείβεται στέαρ·
οὗ καὶ σταλαγμὸς ἐγχυθεὶς ἐπὶ ξύλων,
ἔφλεξεν ὡς πῦρ, εἰ δέ τις ἄλλος ἐκ λίθων,
ὀξεῖς κεραυνὸς, καὶ νεφῶν πλὴν εὑρέθη·
τούτῳ βασιλεὺς τῷ πυρὶ τῆς ἰκμάδος,
Ἰνδῶν βασιλεὺς πυρπολοῦσι τὰς πόλεις·
αἳ μηδ᾽ ὅλως εἴκουσι δασμοὺς φέρειν ·~

+ περὶ φαλαγγίου :-

Δεδηγμένος δέ πού τις ἐκ φαλαγγίου,
νάρκαις βασιλεῦ καὶ κλονεῖται καὶ τρέμει·
καὶ ψύχεται μὲν τῶν μελῶν τὰς ἀκρίδας,
στέλλεται δὲ τῶν φλεβῶν ἡ θερμότης·
ἐμεῖ δὲ χυμούς, ἀλλὰ καὶ πάσχεται βρύχων,
ἔπειτα παθὼν ἁλμυρὰν τὴν ἀλγίαν,
ὀρθοῖ τὸν αὐλὸν τῆς ψυχρώσης ἰκμάδος.
τούτου δὲ παῖς ἄδηκτος ἢ μόνον θίγοι,
παύεται μελαγχῶν τῶν παθῶν ἀπορρέει +

φαλάγγιον.





ἔαξ



+ περὶ ἔακος :~

Ἔστι δὲ καὶ ἔαξ ἐκ γονῆς φαλαγγίων,
ἐγγίστα φυλῆς ἐμφερής, τὸ μακρόπους·
κλείνει δὲ γορτῶν αὐτοῦ ἄρθρα τοὺς πέλας·
πλὴν ἤπιον τὸ σῶμα τῆς γαστρὸς ἐκμύσης +

+ περὶ ἀραχνῶν :~

Ἐγμήχανος δὲ τῶν ἀραχνῶν ἡ φύσις·
καὶ παρθένους νικῶσα λεπτοδακτύλους·
τὰς γὰρ ἁπαλεῖς ἰκμάδας τῶν ἐγκάτων,
ὥσπερ μίτους νήθουσι κερκίδος δίχα·
κύκλους δὲ συνθέντες ἀλληλενδέτους,
τὰς ἀντιλαβὰς ὀργανοῦσιν ἐν τόμοις·
παχυτέροις δὲ τοῖσι τοὺς κύκλους βρόχοις,
εἰς ἀέρα κρεμῶσιν οὐκ οἶδα πόθεν·
ἀφίσταται γὰρ παντελῶς τοῦ μέσου βάσις,

αἱ ἀράχναι γνωσταὶ σοὶ τοῖς πᾶσι.

τοῦ φιλοτεχνήματι συντεθειμένη.
καὶ κλέπτεται μάθον ἡ λαβὴ τῆς κλωστικῆς.
ὑπάνθειος γὰρ ἡ τοσαύτη λεπτότης.
στηρίζεται δὲ τῆς ὑφῆς ἡ πυκνότης,
εἰς τὰς ὀρεὰς τοῦ δόμου περικλάσεις.
μυίαις δὲ καὶ κώνωψι καὶ κρυφιπλέκτοις,
τε ταμιεῦον θήρατρον ἀράχνης φέρων,
ἐκ τοῦ παρεμπίπτοντος ἁπλῶς ἐσθίει.
καὶ ζῇ κρεμαστὸν τὸν φιλήσυχον βίον.
τὸ κέντρον οἰκοῦν, καὶ σκοπῶν τὸ δίκτυον.
μὴ νῆμα ἐρραγῇ, καὶ τὰ κύκλῳ συμπέσῃ.
πνοῆς παρολκαῖς ἐκλυθέντα συντόνοις.
ἐξ ὠδίνων δὲ γίγνεται μηδοκτόνος.
τοὺς τῶν ἐχιδνῶν ἐκμιμούμενος τόκους. +

+ περὶ τῶν μυῶν τῶν καναταίων : +

Ἐκ τῶν μυῶν κράτιστε τῶν καναταίων.
ὅλωσπερ ἐκ φθάρυστος ἰνδὸς ἂν λέγοι.
κύουσα εἰ λέμφοι τις τὴν γαστέρα,
εὑρίσκεται ζῶν, καὶ σφαδάζον τὸ βρέφος.
καὶ τοῦτο ἄγαν, δείκνυσιν ἄγονο βρέφος.
ὡς ἐκ παρασπέρματος ὀργανωμένον. +

+ ὁ μῦς τῶν καναταίων, ἐγκύμων, ὅτι οὐκ ἔχομεν τῶν περὶ κεφαλῆς αὐτοῦ:

ἔχις καὶ ἔχιδνα.

Περὶ ἔχιος, καὶ ἐχίδνης :~

Ἔχις δὲ θερμὸς πρὸς πλοκὰς τῇ συζύγῳ,
καὶ τοῦ λέοντος ἥδιον ἀνύσας γάμον,
χεῖρον φονευθεὶς ὑπὸ τῆς ἐραστρίας.
τούτῳ γὰρ ὀργὴν λανθανόντως ἐμφρέσης,
καὶ τὸ σοβαρὸν ἐκτεμούσης αὐχένα.
πλὴν ἀλλ' ὁ μὲν, τέθνηκεν. ἡ δὲ νυμφική.
μετὰ δὲ μικρὸν τινα τὰ βρέφη χεούσης,
τὸ μητρικὴν ῥήξαντα νηδὺν ἐξέδυ.
μὴ γοῦν, τετιμώρηκε τὸν φυτοσπόρον; +



+ Περὶ ἔχεως καὶ μυραίνης :~

Ἔχις δὲ καὶ μύραινα συνδιαζέτην.
ὁ μὲν, πρὸς αὐτὴν τῆς ὀπῆς ἐξερπύσας.
ἡ δέ, πρὸς αὐτὸν ἐκ ῥοῆς ἀνηπτομένη.
καὶ πρὶν βασιλεῦ συνδραμὼν εἰς τὸν γάμον,
ἐμεῖ τὸν ἰὸν ὡς γλυκὺς ὁ νυμφίος.
καὶ τὸν συριγμὸν τοῖς ἰυγξὶν αὐτίκα,
προσκαλεῖ πρὸς λέκτρα τὴν ἐρωμένην.
καὶ τοῦ παρ' ἀμφοῖν συντελεσθέντος γάμου,
ὁ μὲν, τὸν ἰὸν αὖθις ἀνιμᾶται.
καὶ κατὰ τῆς γῆς θᾶττον ἐρπύσας ἔδυ.
ἡ δέ, πρὸς ὑγρὰς ἀπενήξατο δίνας :+

+ τέλος τῶν χερσαίων :+

πρῆστις



φύσαλος



ζύγαινα πριώνης



ζύγαινα ἡ πόλια







ΠΕΡΙ ΖΩΩΝ ΤΩΝ ΕΝΥΔΡΩΝ ΒΙΒΛΙΟΝ.

Εἰκ

Πρηστίς· κητός· ζύγαινα· πάρδαλις· λέων·
καὶ φυσάλος μέγιστος κη τῶν εὑρέθη·
Ἐι οὐδὲν ὠφελεῖ, τὸ τῶν θηρίων ὄγκον φέρειν·
καὶ φῶτας ἰθύνοντας ἐστερημένα,
ἡγουμένους ἔχουσιν ἰχθῦς τῶν τρίβων.
ἃ κατόπιν τέμνοντα τὸν ἐσθῶν τὸν μέγαν,
παύεται γὰρ τοῖς πτεροῖς τῶν σιωμένων,
ἢ τοῦ περὶ τὸ κύματος ἀντίτυπα,
χαίνουσι, καὶ λάπτουσι καθάπερ κύνες·
τοὺς ἂν τὸν ἐσμὸν ἐκροφῆ τῶν ἰχθύων·
καὶ τὴν παρεμπίπτουσαν ἀφθόνως ὕλην.
Τοῦτο δὲ καὶ ἐν τοῖς Θεόφραστος λέγει,
πρ ἄν Ἐν ἀρραγῇ περὶ τὸ ὕψος ἐχούσης πνευμόνος,
παρὰ καὶ κλύδων πόρρωθεν, ἐκκόντος γνόφου,
καὶ χέρσος ὑγρά, καὶ κινούμενος λόφος ·+·



+ περὶ δελφίνων :~

Ἰχθὺς ὁ δελφίς· ἀλλ' ἂν ἴδοι ναυτίλους,
σκιρτᾷ πρὸς αὐτοὺς ἀναφυσῶν ἀσθμάτων·
καὶ συμπαρατρέχει, καὶ προπέμπει τὸ σκάφος·
αὖραν δὲ τοῦ πλοῦ τὴν φυσικὴν προμηνύει·
καὶ μετρίου κύματος τὴν πολιὰν χύσιν·
ἢ δισσὸν ἀφροῦ σκεδασθεὶς τῶν ἀνέμων·
ἔχων δὲ τὴν κίνησιν εἰς πάντα χρόνον,
ἐᾷ δή τι μικρὸν καὶ καθεύδειν τὴν φύσιν,
ὅθεν ἀναδὺς ἐξ ἀδήλου πυθμένος,
κεῖται καθ' ὑγρῶν ἐκταθεὶς ἐπὶ στόμα.
καὶ τοῦ βάρους ἄνωθεν ὁρμῶντος κάτω,
κρουσθεὶς τὸ τάχος καθάπαξ τοῦ ὑδατοπέδου,
ἀνατρέχει πρὸς ὕψος ἐκ βάθους πάλιν. :~

σημείωσαι περὶ λέοντος καὶ πιθήκου, καὶ δελφῖνος καὶ πιθήκου :~

Λέων μὲν αὖ πίθηκον ἀγρεύων φάγοι,
πρὸς τὴν γλῶσσαν δεξιοῦται τὴν φύσιν·
ἤγουν ἀνῆκε, καὶ σφριγᾷ τῷ φαρμάκῳ.
Δελφὶς δὲ κάμνων, ἐξορίζει τὴν νόσον,
ὅτε φάγοι πίθηκον ἰχθὺν ἀφθόνως.

Τὸ καὶ δὲ δυοῖν εὑρεθεῖσα φιλτάτοιν,
ἡ δελφὶς ἡ θήλεια τοῖς νεογνοῖς ἄρτι,
ἔδειξε φιλόστοργον ὡς ἔχει τὴν φύσιν.
περιστρέφεται γὰρ ἐν μεγίστοις κινδύνοις,
ἕως ἂν ἡ δύναμις αὐτοὺς ἐξάγειν.
προὔργου δὲ βιοῦν ἐς νομὰς ἀκινδύνους,
ἢ δ᾽ εὐθὺς ἀνήρητο τῷ ἀντιδυνητικῷ.
Εἰ δ᾽ οὖν τις ἀγρευτὴς ἢ τομὸν ἐνσείσας βέλος,
ἢ γρίπα πλεκτῷ, ἢ νευροσπάστου βρόχου,
ἀνεῖλεν αὐτὸν γειτνιῶν τῇ πορθμίδι.
τρέφει δὲ καὶ γάλακτι λευκῷ τοὺς τόκους.
περιθεῖσα μαζοὺς ὡς λεχὼ παιδοτρόφος
Δελφὶς δὲ ληφθεὶς ἐντελὴς τῷ δικτύῳ,
τέως μὲν ἡσύχασε τὴν τέχνην φέρων.
καὶ τοὺς περιπίπτοντας ἰχθῦς ἐσθίων.
ἐπεὶ δὲ τῆς γῆς ᾔσθετο ψαύσας μόνον,
τὸν κύρτον εὐθὺς ἐκτεμὼν ἀπηλλάγη.
αὐλοῦ δὲ τυχὼν, ἐστερηθεὶς βραγχίων,
ἔμφυε παντὸς ἀξίῳ κατ᾽ ἔθος γένους.
πνοῆς γὰρ ὁλκὴν ἐντεθεῖσαν τοῖς πόροις,
περικρατῶν καθάπερ ἀνὴρ τοξότης,
τινάσσεται μὲν, ὡς ὑπόπτερον βέλος.
πλωτοῦ δὲ παντὸς ὑπεράλλεται σκάφους.
καὶ φιλόμουσός ἐστιν ἡ τούτου φύσις.
καὶ θέλγεται μὲν ἐπακούσας λύρας.

Βδελύττεται δὲ τοὺς κλωνοὺς αὖθις κλώπους.
Προσθυμήχεται δὲ τῶν κατ' αὐτοὺς τὰς μάχας,
ὁ τῶν νέων ὅμιλος· αἱ δὲ μητέρες,
ἑξῆς μετ' αὐτούς· πρὸς δὲ ταῖς θηλυτέραις,
ἴδοι τις ἂν φάλαγγα πυκνὴν ἀρρένων.
Φρουρῶν, ὀπαδῶν, οὐραγῶν, τῆς μάχης. +

Τρώκτης.



+ Περὶ τρώκτου :- +

Τρώκτης δὲ χαλκοῦ βασιλεὺς πλησιοστόμων,
τροφαῖς ἑαυτὸν μηχαναῖς τε προεξάγει.
καὶ γὰρ ἀνωθεῖ τὴν βολὴν πρὸς τὸν βρόχον.
κἂν μὲν τὸ λυποῦν σκληρῶς ἀποπτύσῃ,
ἰδοὺ νικητής, τροπωμεύς, καὶ γλυνάδας.
εἰ δ' οὖν, διασπᾷ τοῖς ὀδοῦσι τὴν τρίχα·
καὶ γὰρ ἔχει τὴν κλῆσιν ἐκ τῶν πραγμάτων. τὸ πραγμ.
εἰ δ' οὐκ ἐκινεῖτ' ἐκ πλεγμάτων τὸ σπαρτίον,
τοῖς αὖ θελκτικοῖς τῆς πλοκῆς ἐσφιγμένον,
χωρεῖ πρὸς ὁρμὰς ἀκρατῶς τὴν ἀγρίας.

φασὶ γὰρ αὐτὸν ἀγλαϊκὴν ἔχειν φύσιν,
ἕως ὁ χαλκὸς εἰς κλοιὸν διεκπέσῃ·
τὸ μὴ τὸν ἰχθὺν εὐτελῶς παραξέσαι·
ξύοντας δὲ τοῖς λινοῖς εὐφυῶς ἠθροισμένοις,
ξέπτεται δελφὶς ἐκεῖσε εἰς τὸν σιωπῶν·
εὐθὺς γὰρ αὐτῷ συμπεσοῦντες τοὺς κύνας,
συνῆψαν ἀτρεκεῖς εἰς τὸ σῶμα τὰς γένυς·
ὁ δὲ σπαραχθεὶς ταῖς τομαῖς ἀνερράγη·
καὶ δίφρος οἰκτρὸς ἐξ ἀνάγκης εὑρέθη·
λῃσταῖς κρεμαστοῖς τῆς τροφῆς συνεξάρσας·
τοῦ δὲ χρόνου λύσαντος ὀψὲ τὴν μάχην,
οἱ μὲν παγέντες ὄγκον τὸ ἐν ἀστώνης χάριν,
ὁ θὴρ δὲ φυγὼν τοὺς διώκτας ἀσμένως,
οὓς αὐτὸς εἱστίασεν ἐκ τῶν σαρκίων,
πρὸς τὴν ἑαυτοῦ συμφορὰν ἀπηλλάγη ·+

σκάρος·



+ περὶ σκάρου :~

Τὶς ἀγεληδὸν συμπεσοῦντας τοὺς σκάρους·
εἰς πλεκτὸν ἀμφίβληστρον ἐξ οἴστρου βλέπει,

ὅταν ἴδωσι θήλειαν ἀλλοῦντα σκαίρειν·
ἐξ οὗ παροξυνθεῖεν ὁρμαῖς τῆς μιᾶς δόλον,
ὅθεν εὗρε τοῦ ζῆν ἐγκρατῶς διδασκάλους,
ἢ δεῖ ἔρως τὸν ἐκπυροῖ τὴν καρδίαν,
ἀλλὰ τὰς ἐν ἀκμῇ φλεγμονὰς τοῦ σαρκίου.
ὃ σιωπῶμεν πλὴν ἄλλοις ἴσως λάθοι,
παρακελεύουσι τὰς ῥῆτ' ὄντες ἄθεοι·
ἐπεὶ πολλάκις ἀφῆκαν αὐτοὶ τὸν φίλον·
ὁδοῖσι πυκνοῖς ἐκβαλόντες τὸν βρόχον,
καθάπερ αὐτοὺς ἱστορεῖ τοὺς ἀνθίας,
ἀγρευτὴς ἰδὼν τὰς νομὰς τῶν ἰχθύων ·+

κέφαλος



+ περὶ κεφάλου :-

Ποῖος δὲ τὸν κέφαλον ἰχθὺν αὐτάναξ,
ἄσπονδον εὑρὼν εἰς τὸ σύννομον γένος,
ἐξ οὗπερ οὐδὲν οὐδὲ φαῦλον ἂν φάγῃ·
εἰ μὴ σεσηπός, καὶ προκείμενον τύχοι·
γαστρὸς πονηρᾶς οὐκ ἔλαττον ἐκμανθάνει·
σιτούμενος γοῦν τὴν διάβροχον πόαν,

ἐρχομένου ἔχει τὸ δεῖπνον ἐκ τῶν ἰχθύων.
ἔσφαλε δὲ γαστρόθεν ἐκ φυγῆς τὸ σκυμνίον. +





+ περὶ γλαύκου

Ὁ γλαῦκος ἰχθὺς ὡς πατὴρ παιδοτρόφος·
ὅταν περὶ τὴν νῆξιν ὀρρωδοῦντ' ἴδοι,
καὶ τοῦ δέους λήξαντος, ἀνεμεῖ πάλιν·
τὸ δέ, περιλαθὸν τῆς πυρᾶς τῶν ἐγκάτων;
ἐκ παραζωγῆς εὐπερασθὲν ζῶν ἀπόρων. +





+ περὶ Κυνός :–

Κύων δὲ τὸν σκύλακα προϊόντος δέους,
ἐξαιφνιώνης ἀνεῖλεν εἰς τὴν γαστέρα·
καὶ πάλιν αὐτὸς ἀναλεχθεὶς μηδὲ ἕν,
ἐνήξατο ζῶν εἰς τὸ σύνομον γλύκος.

τρέφει δὲ κώπας, χηλεούς, καὶ κηρύλην.
γρ. ἀπηλαῖον ἅμα δὲ καὶ πήλαιον ἡ θαλαττία σου. γρ. ἀπηλαῖον.
οἷς τὴν κεφαλήν, καὶ τῆς κέρκου μέρος,
ἑκατέραις ὥπλισεν αἰχμαῖς ἡ φύσις.
ἁλιεὺς μὲν αὐτὸν ἐμπεσόντα τῷ δικτύῳ,
πρὸς τὴν τελευτὴν ἐκβιάζεται φέρειν.
οὐδὲ σοφὴν δοκοῦντες εὑρεῖν τὸ φίλτρον,
χαίροντες κοινῇ πρὸς τὸν ἄγρωστον δόλον.
οὐν ὅσον χασμῆς δικτυεὺς ἐξελκύσας,
ὄλβον κενωτικόν, συγκομίζει τὴν σκάφη. ·+



+ περὶ μελανούρων :·

Φασὶ τὸ δῆλον τῶν μελανούρων γένος,
ὅταν μὲν ἡ θάλαττα σοβαρῶς ἔχῃ,
τοὺς θηρατικοὺς εὐφυῶς φεύγειν δόλους,
ὡς ψυχοκερδῆ τὸν βυθὸν διατρέχειν.
ὅταν δὲ χειμὼν εἰς τὸ ῥεῖθρον ἐμπέσῃ,
καὶ πᾶς ἁλιεὺς δυσφορῇ πρὸς τὴν ζάλην,
ὡς ἀπὸ φλοιοῦ ταῖς ἕδραις ἀνατρέχειν,
καὶ πάντα δῆπουθεν τῆς νομῆς πεφροντισμένης ·+

σπόγγος·

+ περὶ σπόγγου :·

Κτῆμά τι κρατεῖ τῆς θαλάττης ξένον·
ὃ σπογγιὰν καλοῦσι παῖδες ναυτίλων·
οὐκ ἄψυχον δ' οὖν, οὐδ' ἄμοιρον αἰσθήσεως·
μανὸν γὰρ καὶ ζῶον καὶ πολύτρητον τέρας,
ἐπηλυγασθὲν εἰς κοίλην δειρὰν λίθου,
πρὸς τὰς ἀπώσεις καρτερεῖ τοῦ ῥεύματος·
εἴπου δὲ προσπέσῃ τι τῶν ἐδωδίμων,
ζῶον τι λεπτὸν ἀγνοοῦν τοὺς φύλακας,
ταύτην προσωθεῖ τὴν δυσαίσθητον φύσιν·
ἢ τὸ προσιὸν ἡσυχῇ προσλαμβάνει·
καὶ καθάπερ στόμασι πυκνοῖς τοῖς πόροις,
δεῖπνον βασιλεὺς τὴν βορὰν παραυτίκα·
ὅτε δέ τις ἄνθρωπος ἐκτέμνειν θέλοι,
τὸ ζῶον τὸ νεκρὸν τοῦ πόνου δῶνος τέχος,
οἶδε προσθυρῶν συμφορὰς ἀποκρύφους·
τὸ σῶμα γὰρ εὐθὺς τῇ βολῇ συνεστράφη·
καὶ τοὺς πόρους ἔσφιγξε καὶ κατεστάλη·

τῇ τε ἁλιευτῆς τε βιαίως περισπάσοι·
ἀλγεῖ δ' ὁ πικρῶς ὀσφαλεὶς τὴν καρδίαν,
ἕως θέλει πόθεν τῆς λαβῆς ἀποσπάσῃ ·+



+ περὶ Δράκοντος θαλαττίου

Ἰχθὺς μὲν ὑγρὸς τῆς θαλάσσης ὁ δράκων·
τὴν δ' οὖν κεφαλήν, τὰς φολίδας, τὰς γένυς·
καὶ τὰς διαυγεῖς ἀστραπὰς τῶν ὀμμάτων·
ἐκεῖνος αὐτὸς ἐστὶ τῆς γῆς ὁ δράκων.
οὗ καὶ τὸ κέντρον ἡ φύσις φαρμάξασα,
προσοῖτον οὐκ ἔδειξεν ἰχθυοκτόνοις :+



+ περὶ Φυσάλου τοῦ ἰχθύος τῆς ἐρυθραίου

Εἰς τὴν ἐρυθρὰν ἐστὶν ἰχθὺς οὐ μέγας·
ἐγχωρίοις Φύσαλος ὠνομασμένος·

ἀνείδεος μὲν ἐκ τῆς κεφαλῆς τὴν πλάσιν·
ἔχων δὲ τινὰ κόλπον εἰς τὴν γαστέρα,
σπαράττον ἂν εἴποι τις αὐτοῦ τὴν χολήν·
ὡς ἐκ ἀπὸ πυγμῆς ἀδρανοῦς τεθλασμένου·
ἐντεῦθεν ἀθρεῖ, καὶ πλατέως τὸ στόμα·
φασὶ μὲν οὖν τινὲς τοῦτον, ὅταν τις ἐρράγῃ·
χερσὶ δὲ λαβών, ἢ παραψαύσας μόνον,
εἰς ὀστέον τὴν χεῖρα φλεγμονῆς ἐκτραπῇ,
καθάπερ οἶδε καὶ τὸ σαρκῶδες τρέφειν,
ἐκ φυῶν κατὰ γῆς οὐκ ἐχούσης ἰκμάδα·
πλὴν ἀπολυθεὶς εἰς τὸ ῥεῖθρον αὐτίκα,
αὖθις ἀναζῇ, καὶ περιφέρεται πλέον,
ὡς πομφόλυξ, ἢ κύστις, ἢ σφαῖρα ξένη ·+

ἰχθὺς ἰνδικός.





+ περὶ ἰχθύος τοῦ ἰνδικοῦ ·+

Ἔστι παρ' ἰνδοῖς καὶ βραχὺς ἰχθὺς μέγας,
ὃς κρύπτεται ζῶν, εἰς τὸ τῶν ῥείθρων βάθος,
ἕως τελευτῆς ἰνδικοῦ γε μόνου,
ὃν ἐκ τοῦ ἀνέπλευσεν ὡς κούφη πίλος·
ὁ γοῦν τὸν ἰχθὺν τῆς ἔδρης ἐξαρπάσας,
παραυτίκα τέθνηκε. τί δὴ φάρμακον ·+



+ περὶ κροκοδείλου ἐνύδρου :+

Ὁ κροκόδειλος νήχεται μὲν εὐτόνως.
ἀνεὶς δὲ χανδὸν εἰς τὸ κῦμα τὸ στόμα,
βδελλῶν φορητὸν ἐξ ἐκείνου συλλέγει.
εἶτα διαβὰς εἰς τὸν ὄχθον ἐκ πόρου,
πίπτει κατὰ γῆς καὶ βλέπει τὸν ἥλιον.
καὶ παραγυμνοῖ πρὸς τὸ φῶς, καὶ τὴν ζέσιν,
τοὺς τῶν γνάθων κοιλοὺς καὶ κολπώδεις τόπους.
ὄρνις δέ τις τροχίλος ὠνομασμένος,
τὸ ῥάμφος αὐτῆς εὐφυῶς ἐπεισφέρει,
τὰς αἱμοχαρεῖς καὶ θλιβούσας ἐξάγει.
τούτου τελέως ἔχοντος εἰς τὸ συμφέρον,
καὶ τὴν κεφαλὴν ἀντὶ μισθοῦ λαμβάνει.
μηδὲν κακὸν παθοῦσα ἐκ τοῦ θηρίου.

Ἰχνεύμονος δὲ πρὸς τὸν ἠπειγμένου,
τοῦτο χαμαιπετοῦν ὁ τροχίλος ἐνθάδε,
καὶ διανιστᾷ τὸν βραδὺν πρὸς τὴν μάχην,
παίων κατ' αὐτῆς τῆς γένυος καὶ θαρρύνων,
καὶ μηδὲ μικρὸν ἠρεμεῖν ἐπιτρέπον.
ὁ δὲ πρὸς ὀργὴν ὡς τὸ πῦρ ἐπιζέων,
αἴρει τὸν ἐχθρὸν εὐχερῶς καὶ συμπνίγει.
ὅπλον γεμίζων ἕτοιμον ἰχνεύμων φέρων,
χωρεῖ κατ' αὐτῆς εὐγλυφῶς τῆς ἀσπίδος·
πηλῷ γε δ' ἔξωθεν τὴν δορὰν καταχρίσας,
τὸ δῆγμα θαρρεῖ καὶ κελεύει προσεκπτύσας.
ὕδωρ δὲ τῷ στόματι πολλάκις φέρων,
ὁ κροκόδειλος ἐξότου ὃν Νεῖλος τρέφει,
ἔρχεται μεταξὺ λανθανόντως τῶν πετρίων,
αἷς ἂν ὀλισθαίνωσι τὰ κτήνη, τρέχει.
καὶ ταῦτα δείπνει συμπατῶν ἐν βορβόρῳ.
Καὶ τοὺς ὕδωρ ἥκοντας ἀρύειν θέρους,
τέχνη φυσικὴ τῆς ὅλης πανουργίας·
καλύπτεται γὰρ εἰς φρυγανώδη σκέπην,
καὶ λανθάνων πρόεισι καὶ διαβλέπει·
καὶ κατὰ μικρὸν γειτνιῶν συλλαμβάνει·
πειρώμενος δὲ τοῦτον ὁ ἀπορεῖς τῶν φιλτάτων,
τοὺς ἁρπάσας μέν, ἐνθεασθεὶς καὶ δεσμώταις,
ὅλως ἀπ' ἀρχῆς εὐηθὴς δήπου κρίνει·
τοὺς δὲ πρὸς ὁρμὰς δραστικὰς νωθεστέρους,

τοὺς μὴ φρονικοὺς ἀλλ᾽ ὑπόπτους, ἐκτρέπει.
ὅστις γε θικεκλῖσε τῶν ζώων μόνος,
τὴν μὲν κάτω πήγνυσι, τὴν δὲ λάμνω ῥεύσω,
κἂν δαπανᾷ τὴν τροφὴν διὰ τῶν μύλαις ·+· ἢ χηλῶν

κόσσυφος.



+ περὶ κοσσύφων θαλαττίων :~

Τοὺς κοσσύφους δέ φασι τοὺς θαλαττίους,
ποθεῖν τὸν αἰσχρὸν καὶ φιλήδονον βίον,
καθάπερ ἁβροὺς, καὶ σφριγῶντας βαρβάρους.
καὶ ζηλοτυπεῖν καὶ σκοπεῖν τὰς συννόμους,
ὅταν ἐπιστὰς ὁ χρόνος τῶν ὠδίνων,
ἐς φῶς προελθεῖν ἐκβιάζῃ τοὺς τόκους.
τὰς γὰρ καθ᾽ ὑγρὰν ἐγκλείουσι παστάδας.
ἃς οὐδὲν ἀχλῆς ἐγκοπεὺς διαγλύφει.
τοῖς ἐκλινασμοῖς ἐνδιδούσης τῆς λίθου.
πλὴν καὶ παραθηρῶσιν ἐκ τῶν μετε
τροφὰς νεαρὰς τοῖς λεχοῖς ἀφεστίας.
μή τις παρελθὼν τὰς κρυφὰς διεξόδους,
ἢ τὸ σκιασθῇ καὶ πτοήσῃ τὰ βρέφη,
ἢ προσουρῇ, καὶ τὰ λέκτρα συγχέῃ ·+·

βοῦς θαλάττιος.







+ Περὶ βοὸς θαλαττίου :+

Ἔχει δὲ καὶ θάλασσα βοῦν δή που μέγαν.
ὃς τίκτεται μὲν εἰς ἰλὺν πεφυρμένην.
ἰχθῦς δὲ θηρᾶν εἰς τροφὴν ἐσχισμένων.
τὸν γοῦν φονευτὴν ἔχοντα τῶν ἰχθύων,
ἐν ᾧ ἄρχεται γὰρ τῶν ἐδαφῶν ἀναβράσας,
καὶ τὸ ἀδιάπνευστον ἐκλείνει στέγην,
κυρτῶν ἑαυτόν, καὶ καλύπτων τὸν ξένον.
ὃς ἄρχεται μὲν τῆς πνοῆς πεφραγμένης.
ἐᾷ δὲ νεκρὸν ἐμφορεῖσθαι λείψανον.
τὸν βοῦν τὸν ἐχθρόν, τὸν ἀπληστότατον, τὸν φάγον :+

Σαργός.






+ περὶ σαργοῦ :·



Ὁ σαργὸς ἰχθύς ἐστιν εἰς οἶστρον ζέων.
αἰγῶν δὲ φωνῆς, ἐστυγνωμένος πόδας,
οἰκεῖ δ' ὁ σαργὸς ἀκτὰς παρθενεύεις ἢ θερισμένος·
ὅπου διασφὰξ ὑγρολάξευτος λίθου,
ἐν ᾗ ἡλιακαῖς ἐμφορεῖται λαμπάσι,
φιλεῖ δὲ καὶ τὰς αἶγας ἀρρήτῳ χάρει·
καὶ γὰρ παρ' αὐτὰς γίνεται τοῖς ἐννόμοις ·+

πολύπους.





+ περὶ πολύποδος : ·

Βορώτατον δὲ καὶ πανοῦργον τὴν φύσιν·
καὶ θερμὸν εἰς κίνησιν ἀφροδισίων.
ἀεὶ καθ' ὑγρῶν τὸν πολύποδα βλέπε,
αὐτοκράτορ τέθηπα τῆς ἀπληστίας.



ὅταν γὰρ ἡ θάλαττα δεινόν τι βρύχῃ,
καὶ πνεῦμα πυκνὸν τὸν βυθὸν διαστρέφον,
τὸ ῥεῖθρον ὑψοῖ, καὶ στροβεῖ, καὶ συγχέει,
θήρας ἀγρῶν ἄγευστον ἐνταῦθα χρεὼς,
αὐτοὺς ἑαυτοῦ τοὺς πλοκάμους ἐσθίει.
τροφῆς δὲ λιμῶν ὁ φθορεὺς ἀπορίας,
ὅταν ἔχῃ τὸ ῥεῖθρον ὑπτίαν χλόην,
τὸ δαπανηθὲν εἰς ἀνάπλασιν φύει.
καὶ τὸν μὲν ἐλθεῖν, ἀχερῶς ἂν ἐκφύγοι.
τῶν ὄψιν αὐτῷ γειτνιώντων τι λανθάνον.
δεξάμενος γὰρ τῆς περισκεμμένης τύχης,
ἤμειψεν ἣν πάρος εἶχε μορφὴν ἢ φύσεως,
ἕως καὶ δοκεῖν ἐκεῖνο λοιπὸν τὸ ξύλον,
ἢ τὸν παρόντα λίθον ὀφθῆναι μόνον.
προκειμένου δ' οὖν τῆς πορείας τὸν τόνον,
ἐκ τῆς περὶ τὸν οἶστρον ἀποπληξίας,
ἰσοθάνατος, κἂν βραχὺς ῥιφθῇ χρόνος.
προσελθεῖν ἑαυτόν, ἔσται τοῖς καρκίνοις,
οὓς ἤσθετο πρὶν ἐλλοχῶν, καὶ συλλέγει.
τίκτει δὲ ἔασα, καὶ βραχεῖ πλεῖστα χρόνῳ.
καὶ νῆχε τῶν ζῶν εὐαρίθμητον βίον.
ὅταν δὲ χειμών, καὶ δριμύτης ἢ ψύχους,
καὶ μεσιῶν ὅσας ἔτος αἱ θριανίδοι,
τὸ ῥεῖθρον ἀφείς, καὶ τὸ σωζόμενον γένος,
ἔξεισιν εἰς τὴν χέρσον ἕρπων ὡς ὄφις.

καὶ πέζαν εὑρὼν, τὸ λαθεὶς ἐπὶ στόμα,
τοῖς ἡλιακαῖς ἐγχρονίζει λαμπάσι.
δένδρου τε παντὸς ἂν ἐπιβαίνειν θέλῃ,
καὶ τοῦτο τούτῳ ἔασον εἰς ἕρμα φύγης.
ἀψάμενον δὲ πηγάνου τὸ θηρίον,
κνήσεως ἔρημον εὐθὺς εὑρέθη :· +

λάβραξ.



+ Περὶ λάβρακος :~

Λάβραξ δὲ χανδὸν ἐκπετάσας τὸ στόμα,
καρίδας ἀγρεῖ πρὸς τὸν κλύδωνα μὴ βλέπων.
τούτοις δὲ τοῦ φάρυγγος ἐξῳδηκότος,
θνήσκει τροφῆς ὄλεθρον ὀξέως ἁρπάσας :· +

μύραινα.



+ Περὶ Μυραίνης :~

Ὅταν ἁλιεῖς ἐκλινάξας τὸν βόλον, γρ. δόλον
ὑποσπάσῃ μύραιναν αὐσονοχάλυβ,
ἐς πῖθον αὐλῶν ἄλινος κεκλασμένον.
ἡ μὲν γὰρ εὐθὺς ἀπὸ μεσίου πόρου,
διεξέδυ σφύζουσα ταῖς σιαγόσι·
ὁ δὲ βλέπων ἔστηκε τὸν βρόχον μάτην ·+



+ Περὶ Σηπίας :+

Πανοῦργος ἐστὶ τὴν φύσιν ἡ σηπία.
τῶν θηρατῶν κλέπτουσα τὴν κακουργίαν.
ἐμεῖ γὰρ ἀπὸ σφάγματος ῥεῖθρον μέλαν.

Καὶ λαμβάνει τὴν ὄψιν εὐδίας γνόφου.
καὶ τὸ ἑρπετὸν θηρῶσα τὴν σωτηρίαν.
ἀλλὰ σκόπει μὴ ζῶσαν δεξιᾷ λάβοις.
ἄλλως γὰρ ἂν φθάνοι τις ἐκ πέτρας τρέπειν.
ὀδόντας ὀξεῖς εἰς ἀπόκρυφον στόμα.
καὶ δῆγμα πικρὸν ἐξ ἰοῦ περιθησόμενον :· +

τρυγὼν θαλαττία.



+ περὶ τρυγόνος θαλασσίας :· +

Ἰοῦ δὲ μεστὰ τῆς φθορᾶς ὀξυδρόμου,
τῶν τρυγόνων τὰ κέντρα τῶν θαλαττίων.
οἷς καὶ τεθηλὸς ἂν ἀμυχθῇ δενδρίον,
μαραίνεται ξηρὸν οὐκ ἔτι δυνάμενον ·
Ὅπλων γέ φασι κἄν ποτε ζῶον τύχῃ,
τρωθὲν ἀφειδῶς τοῖς ὅπλοις αὐτοῖς πέσῃ,
ἀπῆες μακρὰν τέθνηκεν οἰκτίστῳ μόρῳ.
Καὶ τοὺς ἁλιεῖς αὖθις ἐκτόπως τρέμειν,
τὰ δεξιᾷ χερσὶ μὴ λαβεῖν ταῦτα τοῦ ζῴου βέλη.
ἂν γάρ τις αὐτοῖς τοῖς ταχίστοις κεντρίοις,

πληγῇ, μόλις δὲ τῶν ἰάσεων ἡ λέγχη,
ἔρωσται δ' ἂν αὐτὸν τῆς φορᾶς τὸν κίνδυνον.
Πρὸς τοῖς γελοιποιοὺ καὶ παραιώσειν τοὺς πόνους,
τοὺς σφοδροτάτους, τῶν ὀδόντων ὀξέως·
καὶ συντιθεῖσιν μάλιστα τοὺς τετρωμένους,
ὀδόντας αὐτοὺς τε ἐξάγειν ἀνωδύνως :· +

κερδαλή.



+ περὶ κερδαλέων :~

Τὴν κερδαλῆν δέ φασι τὴν θαλαττίαν,
τοῖς ἐγκάτοις ἄγκιστρον εἰς δεδεγμένην,
σφᾶς ἑαυτὴν ἀπὸ τῶν ἔνδον στρέφειν·
ὡς ἱμάτιον τὸ ἐνδοτερικὸν φασὶ τοῦτο,
ἕως δ' ἂν ὁ χαλκὸς ἐμπαγεὶς διεκπέσῃ ·+

ἰουλίς.



+ περὶ ἰουλίδων :+

Φέρει μὲν ἡ θάλασσα τὰς ἰουλίδας.
ἔστι δὲ φαυλότατον ἰχθύων γένος,

καὶ τοὺς ἐν ἀκταῖς μάγνου οἰκοῦσι λίθους·
δύναται δὲ λυπεῖν τοὺς ἐνυδροθηρίας·
ὅτι κατ' αὐτῶν εἰς ῥυαδοῖν ὠθεῖσθαι·
γεγευμένας δέ τινος ἰχθύος μέτα,
ἀθρόως γὰρ ἀπέφηναν αὐτὸν εὐθέως·
ἰοῦ γὰρ αὐτοῦ πλῆρές ἐστι τὸ στόμα,
κἄν τις τὸν ἰχθὺν ἀγνοῶν ἐπεσθίοι,
στροφαῖς ὀδυνῶν ἔσται τι χαλεπωτέρα·
ὡς καὶ λαγωοῦ θαλαττίου φάγοι,
θερμὸς γὰρ τὴν ἐκ γῆς ὑπεναντίως ἔχει,
ὁ γυμνὸς οὗτος ἐστὶ μικροῦ κοχλίας ·+

περσεύς·





+ Περὶ περσέως :+

Ἰχθὺς ὁ περσεὺς ἐμφερὴς τοῖς ἀνθίαις·
μᾶλλον δὲ τοῖς λάβραξι τοῖς βορωτάτοις·
ὃς ἐκ φάλμης εἰς ἐρυθρὰν χαλεπέρα,
ζώναις χρυσαῖς ἀντὶ χροιᾶς ἠγλαϊσμένος,
εἶδος μυθικῶς ἀφροδίτης ἔχειν ἔθη·
πλωτῶν δὲ θηρῶν δεσποτῶν καλεῖ λίχυς·
μὴ ὃ δοῦσι μακεδοῖς καὶ τμαῖς πεφρασμένος :+ μοῖς



+ περὶ μυὸς θαλαττίου :

Θαλάττιος μῦς πρὸς φυὰς φέρων ὕδρου,
καὶ τείνας ἐκ στόματος ἀκμαῖς ὡς βέλη,
χωρεῖ πρὸς ἰχθῦς αὐτὸς ἔνυδρα δυσμάχους.
καὶ τοὺς σαγηνεύοντας αὐτὸν οὐ τρέμει.
γοργῶς διασπῶν τὰς πλοκὰς τοῦ δικτύου.
καὶ μέμφεται μῦς τοὺς ἀνύδρους ἐν σκότει.
οἳ ζῶσι πικρῶς καὶ συλῶσι τὰς ψήχας.
οἷς καὶ γαλῆ τρίζουσα, καὶ πλάξ, καὶ βρόχος,
καὶ παγὶς ἐξέτριψε καὶ βραχὺ στέαρ. +



+ περὶ κεστρέως :~

Κεστρεὺς δὲ λαμπρᾶς μειδιώσης αἰθρίας·
ἐξέρπει εἰς τὴν χέρσον, ἀφεὶς τὴν χύσιν·
ὅπη δὲ τοῦ χώματος ὑπάγων εἰς βάθος,
ἂν ἐκταραχθῇ, πρὸς τὸ ῥεῖθρον ἀντρέχει·
καὶ ζῇ καθαρὸς γηγενοῦς ὑποψίας·
φυγὰς ἐπ' αὐτοῦ εἰς ῥοὰς εἰς τὴν πατρίδα ·~

ἀδωνίς·



+ περὶ ἰχθύος τοῦ καλουμένου ἀδώνιδος :~

Ἔστ' ἄλλος ἰχθὺς τοῦ γένους τῶν κεστρέων·
ἐθὰς νέμεσθαι ἐν πέτραις πορφυραῖς·
ξανθὸς μὲν τὴν ἰδέαν καὶ μηλόχροος πέλει·
ἄδωνιν οἱ μὲν ἴδριες θαλαττίων,
καλοῦσιν αὐτὸν, μυθικῶς κεκραγότες·
ἄλλοι δὲ, ἐξώκοιτον ἐκ τῆς αἰτίας,
ὡς ἐμφανῶς αὐτὸς τῆς ἁλὸς βαίνων ἄπο,
πρὸς χέρσον αὐτοῦ ἐκτίθησι τὰς κοίτας·
καὶ γὰρ ὅτ' ἂν τὸ κῦμα παραιωθῇ σάλου,
ἐν τοῖς γαληνοῖς καὶ ὑπευδίοις τόποις,

τὸ γοῦν ἑαυτὸν ἐξοκέλλειν ἀθελεῖ·
τούτους ἐπ' αὐτῇ τῇ ξηρᾷ μὴ ὀρρούμενος,
ἐκτείνει τὸ σῶμα κατὰ πετρῶν οἷα μάζα,
ἢ καὶ βαθὺν τὸν ὕπνον εὕδει ἡδέως·
παντὸς ἀφροντίστως τοῦ τῶν ἄλλων ἔχων·
ἄνευ θαλασσίων τε ὀρνίθων μόνων·
οὓς καὶ δέδοικε τὴν περιφρικώδη ἐχθρῶς πως·
Εἰδὼς ὅτι ἡ θάλασσα αὐτοὺς ἐκτρέφει,
ἐκ τῶν ἑαυτῆς δαψιλῶν ἐδεσμάτων·
τούτων τις αὐτῷ εἴποτ' ὀφθῇ μακρόθεν,
ὁ δ' εὐθύς γε πηδᾷ καὶ ἐπάγεται δίκην,
ἀνδρὸς χορευτοῦ, ἢ κόρης ὀρχηστρίδος,
σπεύδων παρ' αὐτῶν τῶν πετρῶν ἀποδρᾶναι,
ὡς ἐμπεσὼν τάχιστα τοῖς κύμασι τῆς,
σώσῃ ἑαυτὸν τῆς βορᾶς τῶν ὀρνέων ·+

ἀφύαι.

+ περὶ ἀφυῶν :~

Μήτηρ ὁ πηλός, καὶ πατὴρ ταῖς ἀφύαις·
αἳ νουνεχῶς οἰκοῦσι τοὺς κοίλους λίθους·
δεδοίκασι γὰρ τὰς φορὰς τοῦ πνεύματος·
τούτου σχάσῃ καὶ ζοφῆς πλὴν ἐδάφη,
τῆς συγγενοῦς τὸ σῶμα λιχμῇ τὰ βάθη ·+

τρίγλη.





+ περὶ τρίγλης :~

Τρίγλη δὲ νηκτὸν ἐστὶ καὶ λίχνου φύσεως·
καὶ γὰρ φιλεῖ τοῖς κακοσμίοις ἐκτόπως·
καὶ τοῖς ῥυπαροῖς, ἐντρυφᾷ θηρευσίμοις·
ἅπαξ δὲ τίκτει, ἀλλὰ καὶ τρὶς αὐτίκα ·~

ναυκράτης.





+ περὶ Ναυκράτου :~

Ἔστι τις ἰχθὺς εὐτελὴς μὲν εἰ βλέποις·
εἰ δ' ἐκμάθοις, κράτιστος· εἰ δὲ λαμβάνοις,
νεκρὸς γελοῖος, ἐς σαγήνας ἀποστρέφει·
τὸν μὲν γὰρ εὐάγωγον ἐξ αὔρας δρόμον,
εἴργει προσελθὼν ἐνδακὼν τὴν ὁλκάδα·
καὶ τοὺς τέως ᾄδοντας ἐκ θυμηδίας,
συγχοῦντι πενθεῖν, ἐκβοᾷ δ' ὁ ναυτίλος·
κἂν μή τις αὐτὸν καθελὼν θᾶττον τέμνῃ,
ὁδὸς ἀλητεῖ, ἐνδραμεῖται τὸ σκάφος·

Ταῖς δὲ προσκαίροις συγκοπαῖς τῶν ἐμβρύων,
ἴσως τι ληφθεὶς τῆς κινούσης ὄλβου.
Τοῦτον τὸν ἰχθὺν, αὐτάρκη ναυκέλλην,
οἱ ναυτικοὶ καλοῦσιν ἐκ τοῦ πράγματος. ·+

πίνη.

+ περὶ πίνης :~

Τῶν ὀστρέων ἔνεστιν ἡ πίνη γένος·
ἣ ταῖς φορηταῖς προσανοιγνῦσα πτύχας,
καὶ τὸ καθ' ὑγρῶν τῇ προσβολῇ σαρκίον,
ἐκ τῶν ἑαυτῆς μαγγανῶν εὐθενίων.
ὅταν δὲ μαινὶς ἀπαλὴ θεῖσα δράμοι,
καρκῖνος αὐτῇ συμβιῶν προσεστίας,
νύττει μετ' αἰδοῦς ταῖς χηλαῖς τὸ σαρκίον.
ἡ δὲ πλέον κέχηνεν, ὁ δὲ προσνέει·
καὶ τοῖς λαθοῦσι διπτύχοις ἁλίσκεται·
ἔσω δὲ ῥυεὶς τῷ στομάχῳ τῆς πίνης,
ὡς ἀστραπῆς ἔλαμψεν εὑρέθη λίθος·
κινούμενος δὲ τῇ καθειρχθείσῃ ζέσει,
ὡς μαρμαρυγὴν ὀργανοῦται μαργάρου.
πίνη δὲ ποιεῖ καὶ τριχῶν βλάστην ξένην,
τῆς ἐξ ἀραχνῶν ἐμφυῶν τῶν ἐγκάτων.
ἧς ἡ φεραυγής, καὶ χλιδῶσα λεπτότης,
ξανθοῖς πλοκαμοῖς ἐνδεθεῖσα παρθένων,
ἀπαργυροῦται αὐτοῖς μαστροπεύει νυμφίους ·+

καρκίνοι



+ Περὶ καρκίνων :~

Ἐξοστρακωθὲν εἰς παχεῖαν τὸ σκέπος,
ἐξοστρακίζειν οἶδε καρκίνου φύσις.
οἰστρούμενος γὰρ κινησμοναῖς ἀποκρύφοις,
ἐκεῖνος ὀργᾷ παντελῶς τροφῆς χάριν·
ὀγκούμενος δέ, πλησμονῇ τὴν γαστέρα,
σοφῶς τὸ προσαπτὲν τῆς καλύπτρας ἐκδύεται.
τὸ θρύμμα τοῦ στέγους ἐκπεσόντος αὐτίκα,
νοσῶν ὁ γυμνὸς εὐπαθὴς γὰρ εὑρέθη.
μένει τροφῆς ἄγευστος εἰς πλεῖστον χρόνον.
πηγνύμενος δὲ τῇ δορᾷ τῇ δευτέρως φανείσῃ,
τροφὴν ἔχει τὴν ψάμμον ἣν εὗρε χλιαίνων.
ὅταν δὲ καλῶς ὀστρακωθῇ τὸ σκέπος,
εἰς πάντα χωρεῖ τὴν τροφὴν περιβλέπων +





+ Περὶ πορφύρας :~

Ὅταν τις ἀνὴρ πορφυρεὺς τὴν πορφύραν,
ἐχθρὰς τροφὴν τεθεικὼς αὐτὴν θηράσῃ,
ἀλλ' εἰς ἐρίων χρῶμα, καὶ μὴ καὶ μύρων,
ἡ δευσοποιὸς καὶ δυσέκνιπτος χρόα,
ἀεί τε λαμπρὰ καὶ καθαρ' ἄνευ σπίλου,
δέον γε μὴν λαβόντα τὴν λιναγρέτην,
αὐτοῖς μὲν ὀστράκεσι θλᾶν ἐξαπίνης,
λίθου βολῇ βαρεῖα συμμεμιγμένῃ.
ἂν γὰρ δὲ κούφως ἡ φορὰ ἐπ' αὐτὰς πέσῃ,
τὸ ζῷον ὡς ἐστὶν ἔμπνοον μένον ἔτι,
ἀχρεῖος ἐστὶν εἰς βαφὴν ἡ δευτέρα,
βολὴ πετραία· καὶ γὰρ αὐτὴ τῷ πόνῳ,
ἐξαφανίζει τὴν δὲ τὴν εἰς ὄγκον κρέως,
ἀναποθεῖσαν αὖθις ἢ τὸ ἄλλως τότε,
καὶ ἐχρησθεῖσα εἰς ἀπώλειαν ἄγει :~

ναυτίλος.



+ Περὶ ναυτίλου ⁖

Τίς οἶδεν ἂν πολύπουν ὃν καλοῦσι ναυτίλον,
σκηπτοῦχε βλέψας μαρτυρούσης ἀληθείας,
ὅταν δὲ πόντον κοσμίως πεπλευκότα,
οἷα τριήρης ὁλκὰς ἠγλαϊσμένη,
οὐ γηθοσύνως ἔσχε τὴν ξένην θέαν;
οὗτος γάρ ἐστι πουλύποις κατ' ἔλεγχον,
στρεπτὴν ἕλιξιν οἷον ἔνδυμ' ἐννύται.
καὶ πλεῖστα μὲν ἐς κάτω τὸ ἄνω στρέψας κύτους,
μήπως κλύδωνος οὗτος ἅλμης ἀρύσῃ,
κἀκεῖνον εὐθὺς τῆς στέγης ἀποσπάσῃ,
ὅτε δ' ἐστὶν ἡ θάλασσα ἐργώνην ἄγῃ,
θαρρῶν ἑαυτοῦ αὖθις τὸ πλοῖον στρέφει,
καὶ ἀσφαλῶς πλεῖ πορθμίδος τέως δίκην.
πτέρυγας γὰρ αὐτὸ ἱστοῦ τὰς ἄκρας τὰς δύο,

τῶν πλεκτανῶν ἠρέμα τοῦ κινεῖ τὸ σκάφος,
οἷον τισὶν ἐρεττῶν, καὶ προωθεῖ πάντοτε·
ἀλλ᾽ εἰ γε τηλοῦ τὸ ῥεῖθρον ὑψοῦται λίαν,
ὅταν τι πνεῦμα τὸν βυθὸν διαβρέχῃ
ἀφεὶς τοῖς ἐρετμοῖς ὥσπερ οἴακας δ᾽ ἔχων,
ἐκ ταῖς μὲν αὐτοῖς τῶν μερῶν διεξάγει.
ἄλλας δ᾽ ἐπαίρων αὖθις ὑψοῦ πλεκτάνας,
τὸν καὶ μεταξὺ τὸν ὑμένα τοῖς μὲν πέλει,
χιτὼν δὲ λεπτός, τὸν τινὰ χρεὼν τότε,
ἵστησι κατ᾽ ὀρθότητα δ᾽ ὥσπερ λαῖφος,
ναυτίλλεται ἥδιστα τοιοῦτον τρόπον.
ἀλλ᾽ ἢν ἰδὼν μὲν δειματούμενος τύχῃ,
τὸ πᾶν ἐπανθεῖν τῆς θαλάσσης κινώδης,
αὐτὸς βυθίσας αὖθις ἀντλῶ τὸ σκάφος, — γρ. αὐτοῦ,
ἑαυτὸν ἠφάνισεν ἐν μυχοῖς πόντου,
ὡς ἂν τὸν ἐχθροῦ κίνδυνον ἀποδράσῃ. — γρ. ὡς ἂν τὸν ἐχθροῦ τὸν παλμὸν ἐκφύγῃ.
καὶ μὴν προσδραμόντα ὡς ὅτι ἤδη,
τὸ τε ἀδεῶς ἄνεισι καὶ πάλιν πλέει.
ἐκ τῆς δὲ λοιπὸν ἀναλῆς συγκυρίας,
οἱ ναυτικοὶ καλοῦσιν αὐτὸν ναυτίλον,
ὃν ἡ φύσις τέτευχεν ἡδονῆς χάριν :+

+ τέλος σὺν θεῷ,
,αφξς'
ἔτει :~

1566
anno

ἀμήν

αγγελος





